232 f. ἀιστώσας: vgl. zu 151 u. 668. Aeschylus hat hier die Sage von der Aufeinanderfolge der Zeitalter u. Menschengeschlechter nach eigener Weise behandelt, vgl. Einleitung S. 13.

καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτοὺς 235
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.

τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς 240
ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

ΧΟ. σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος,

234. καὶ τοῖσιν: über den Artikel, welcher besonders im Anschluss an καί, δέ (vgl. unten 816) u. γάρ die pronominale Bedeutung bewahrt hat, vgl. Krüger II § 50, 1, 1—5.

235. Ueber das Asyndeton bei der Erklärung vgl. Krüger I § 59, 1, 5. — ἐξελυσάμην: von dem über sie verhängten, wenn auch noch nicht hereingebrochenen Uebel wie Od. 10, 286 ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω, Eur. Andr. 818 θανάτου νιν ἐκλύσασθε.

236. Der Infinitiv mit τὸ μή steht nach einem Ausdruck, welcher eine der durch den Infinitiv angegebenen Folge entgegengesetzte, widerstrebende Thätigkeit oder Wirksamkeit bezeichnet, vgl. Krüger I § 67, 12, 2—4, unten 865, Ag. 1170 ἄκος δ' οὐδὲν ἐπήρκεσαν τὸ μὴ (μὴ οὐ?) πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν, Pers. 291 ὑπερβάλλει γὰρ ἥδε συμφορὰ τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.

237. τῷ wie bei Homer (vgl. zu 234) u. Soph. O. R. 511 τῷ ἀπ' ἐμᾶς φρενὸς οὔποτ' ὀφλήσει κακίαν. — τοιαῖσδε: in τοιοῦτος, τοιόσδε (vgl. Sept. 27, Ag. 1100), οἷος, ποιῶ kann der Diphthong οι verkürzt werden (Krüger II § 3, 3, 1). Man schrieb dann wahrscheinlich ο für οι, wie ποεῖν sich sehr häufig in Inschriften findet.

239. ἐν οἴκτῳ προθέμενος: προ- hat hier zeitliche Bedeutung ('ich habe mit gutem den Anfang gemacht'), vgl. Ag. 1008 καὶ τὸ μὲν πρὸ χρημάτων κτησίων ὄκνος βαλών, Eur. Ion 914 χάριν οὐ προλαβών. τούτου: nämlich τοῦ ἐν οἴκτῳ τίθεσθαι.

241. ἐρρύθμισμαι: ironisch 'zur Ordnung gebracht'. — Sehr effectvoll sind solche Appositionen, welche die zweite Hälfte des Verses einnehmen, vgl. 350, 461.

242. Seit Homer eine oft vorkommende Bezeichnung der Gefühllosigkeit (oder auch des unbeugsamen Muthes). Il. 16, 33 sagt Patroklus zu Achilles νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς, οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής (darnach Verg. Aen. 4, 366 duris genuit te cautibus horrens Caucasus Hircanaeque admorunt ubera tigres, ecl. 8, 43). Vgl. Il. 24, 205 σιδήρειον νύ τοι ἦτορ, Hes. Theog. 239 Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν, Pind. frgm. 88 ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν, Sept. 52 σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει, Eur. Med. 1279 τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδαρος, ἅτις ... κτενεῖς, Cycl. 596 πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν, Theocr. X 7 Μίλων ὀψαμᾶτα, πέτρας ἀπόκομμ' ἀτεράμνω, Moschus IV 44 μοχθίζει πέτρης ὅ γ' ἔχων νόον ἠὲ σιδήρου καρτερὸν ἐν στήθεσσι, Tibull. I 1, 63 flebis: non tua sunt duro praecordia ferro vincta neque in tenero stat tibi corde silex, Ovid. Amor. III 6, 59 ille habet et silices et vivum in pectore ferrum, Hor. carm. I 3, 9 illi robur et aes triplex circa pectus erat.

ὅστις, Προμηθεῦ, σοῖσιν οὐ συνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ. 245

ΠΡ. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
ΧΟ. μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
ΠΡ. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
ΧΟ. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
ΠΡ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα. 250
ΧΟ. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
ΠΡ. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.

246. *καὶ μὴν* aut 'et vero', 'et sane' aut 'atqui' significat (Hermann zu Viger. 332). Hier 'et sane' (*φίλοις* gegensätzlich); 'et vero' 459, 1080, 'atqui' 982, 985. Wegen der Ergänzung von *εἰμὶ* vgl. zu 42.

247. *μή*: vgl. 959, Pers. 344 *μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ*. Der Chor ist geneigt sich die Härte der Strafe aus einem schwereren Verbrechen zu erklären. — *τῶνδε* 'was du angegeben hast' vgl. *ταύτῃ* 189.

248. *προδέρκεσθαι*: Die Voraussicht des Todes ist ein Uebel, welches dem Menschen thätiges Streben verleidet u. ihn stumpfsinnig macht, weil ihm der Tod vor Augen schwebt u. seinem Streben ein bestimmtes Ziel gesetzt ist. An diese die Thatkraft lähmende Folge der Voraussicht des Todes ist hier bei *προδέρκεσθαι μόρον* gedacht. In anderem Sinne sagt Zeus in dem Mythus des Platon Gorg. 523 D *πρῶτον μὲν οὖν παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον. νῦν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν*. Hiernach sollen die Menschen nicht wissen, wann sie sterben, damit sie den Todtenrichter nicht durch vorbereitete Mittel, durch mitgenommene Zeugen, welche ihnen ein gerechtes Leben bezeugen sollen, zu täuschen versuchen. Vgl. noch Hor. carm. III 29, 29 prudens futuri temporis exitum caliginosa nocte premit deus.

249. *τὸ ποῖον* = *τὸ φάρμακον τῆσδε νόσου ποῖον εὑρών* 'remedium quod huic morbo adhibuisti quale fuit'. Is qui interrogat, audiendi studio id, quod alterum dicere vult, occupaturus ipse orationem incohat, quam ab illo absolvi vult; ipse autem quia eam absolvere non potest, addit pronomen interrogativum (Hermann zu Vig. 25). — *νόσου*: vgl. 384, 596, 606, 632, 977, 1069.

250. Aeschylus hat, wie 232 die Sage von den verschiedenen Zeitaltern, so hier die Sage von der Pandora (Hes. O. D. 95, oben S. 5) nach eigener Weise so behandelt, dass die ursprüngliche Gestalt der Sage nicht mehr erkennbar u. nur der tiefere Gedanke geblieben ist. Der Mensch, den nie die Hoffnung verlässt, strebt fort nach seinem Ziele, vergisst darüber den Tod u. besorgt nicht, von ihm in seiner Thätigkeit unterbrochen zu werden ohne sein Ziel erreicht zu haben. Vgl. Simonides Amorg. fr. 1, 3 *ἐφήμεροι ἃ δὴ βότ' αἰεὶ ζῶμεν, οὐδὲν εἰδότες ὅπως ἕκαστον ἐκτελευτήσει θεός. ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει ἄπρηκτον ὁρμαίνοντας*, Soph. Ant. 615 *ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς πολλοῖς μὲν ὄνασις ἀνδρῶν, πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων*.

252. Ueber *σφὶν* in demonstrativem Sinne wie 457 vgl. Krüger II § 51, 1, 19; *σφίσιν* in diesem Sinne bei den Tragikern nur unten 481 (wie bei Homer, vgl. ebd. Anm. 17).

ΣΟ. καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
ΠΡ. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
ΧΟ. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν — 255
ΠΡ. αἰκίζεταί τε κοὐδαμῇ χαλᾷ κακῶν.
ΧΟ. οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
ΠΡ. οὐκ ἄλλο γ' οὐδὲν πλὴν ὅταν κείνῳ δοκῇ.
ΧΟ. δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν 260
καθ' ἡδονὴν σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλου δ' ἔκλυσιν ζήτει τινά.

ΠΡ. ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην. 265
ἑκὼν ἑκὼν — ἥμαρτον, οὐκ ἀρνήσομαι·

253. Durch φλογωπόν ist der Vorzug des Feuers hervorgehoben, der den ἐφήμεροι nicht gebührt. Bei dieser Betonung von φλογωπόν ist das wiederholte πῦρ in keiner Weise anstössig vgl. Suppl. 408 λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε. — καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με; — ἐφήμεροι: vgl. zu 83. Auch der Chor will hier sagen, dass widerrechtlich den Menschen zugekommen, was den Göttern gehörte.

254. Mit γὲ wird zur Bejahung der Frage eine nähere Bestimmung gegeben vgl. 258, 379, 746, 786, 774. — ἀφ' οὗ: vgl. 170.

255 f. Prometheus fällt mit der Antwort in die Frage ein u. gibt zu der einfachen Antwort noch einen bedeutungsvollen Zusatz οὐδαμῇ χαλᾷ κακῶν. Durch diesen Zusatz ist das formelle Kunstmittel, die Stichomythie festzuhalten, inhaltlich begründet. Gewöhnlich wird nur eine Frage dazwischengestellt, welche sich der Construction des unvollendeten Satzes so anschliesst, dass zur Antwort der begonnene Satz einfach in gewöhnlicher Weise fortgesetzt werden kann, wie Pers. 734 Ξέρξην φασὶν — πῶς τελευτᾶν; — ἄσμενον μολεῖν.

257. οὐδὲ wie καὶ in 253.

258. Vgl. 376. Anders heisst es 756.

259. δόξει δὲ πῶς; die Wortstellung wegen der Aufnahme des vorausgehenden δοκῇ, vgl. Soph. El. 1429 λεύσσω γὰρ Αἴγισθον. OP. εἰσορᾶτε ποῦ τὸν ἄνδρα;

260. ἥμαρτες: dass nur ein Fehler der Unklugheit u. des unüberlegten Handelns, nämlich die Auflehnung gegen einen überlegenen Gegner, nicht ein sittliches Vergehen gemeint ist, zeigt 266 mit der Erklärung in 267.

263. ἄθλου δ' ἔκλυσιν ζήτει τινά durch Nachgiebigkeit vgl. 316 mit 315. — Vgl. Cho. 697 ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα, wo der Schol. bemerkt: ἔξω πηλοῦ πόδα, παροιμία, Soph. Phil. 1260 ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα, Eur. Heracl. 109 καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα, εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

264. Vgl. Eur. Alc. 1078 ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν, Herc. 1249 σὺ δ' ἐκτὸς ὢν γε συμφορᾶς με νουθετεῖς, Terent. Andr. 309 Facile omnes, quom valemus, recta consilia aegrotis damus.

266. Mit ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην u. ἑκών wird der Vorwurf der Unüberlegtheit zurückgewiesen u. das ἁμάρτημα auf die im

θνητοῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου. 270

καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι πίθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη 275
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

flg. Verse angegebene Nichtberücksichtigung des eigenen Nutzens beschränkt, wodurch der 'Fehler' zur edlen That umgewandelt wird. — οὐκ ἀρνήσομαι bezieht sich bloss auf ἥμαρτον im Sinne 'ich will dein ἥμαρτες gelten lassen'. Ueber das Asyndeton vgl. zu 72. ἑκὼν ἑκών: die Wiederholung desselben Wortes (ἀναδίπλωσις) dient zum affektvollen Ausdruck des Schmerzes, dringlicher Bitte und nachdrücklicher Behauptung; vgl. 274, 338, 688, 694, 887, 894, 999, auch 577, 594 u. 392, 937.

267. θνητοῖς ἀρήγων ohne Verbindung als Erklärung: vgl. zu 235. — ηὑρόμην: vgl. Sept. 878 μελέους θανάτους ηὕροντο, Soph. Ai. 1023 καὶ ταῦτα πάντα σοῦ θανόντος ηὑρόμην.

268. με — τυχόντα statt des nom.: vgl. Krüger II § 51, 2, 1 u. § 55, 2, 2, wo die Beispiele aus Homer angeführt sind, u. I § 55, 2, 3; vgl. dazu noch Soph. Ai. 606 κακὰν ἐλπίδ' ἔχων ἔτι μέ ποτ' ἀνύσειν, El. 65 κἄμ' ἐπαυχῶ — λάμψειν ἔτι, 471 δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι, Eur. Alc. 641 καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι, Herod. I 34 ὅτι ἐνόμισε ἑωυτὸν (dieses mit besonderem Nachdruck) εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Plat. Rep. III 400 B οἶμαι δέ με ἀκηκοέναι, Isocr. IV 85 οὐκ ἐχθροὺς ἀλλ' ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες.

269. κατισχνανεῖσθαι: vgl. 147. Das fut. med. wie ἀνανοῦμαι Soph. Phil. 954 (Krüger I § 39, 11). — πεδάρσιοι: vgl. 710, 916, Cho. 846 λόγοι πεδάρσιοι θρώσκουσι. Diese äolische Form (πέδα = μετά) findet sich bei Aeschylus noch in einigen Wörtern: πέδοικος fr. 48, πεδαίχμιος und πεδάορος Cho. 589 f.

270. ἐρήμου: vgl. frgm. 305, 10 δρυμοὺς ἐρήμους καὶ πάγους, Soph. Phil. 691 ἵν' αὐτὸς ἦν πρόσουρος οὐκ ἔχων βάσιν οὐδέ τιν' ἐγχώρων κακογείτονα.

271. καί μοι: 'und so beklaget mir nicht' — knüpft an den Gedanken 'eure Lehren und Ermahnungen sind überflüssig' an. — δύρομαι eine Form der tragischen Sprache für ὀδύρομαι.

272. βούλεται γὰρ στῆσαι τὸν χορὸν, ὅπως τὸ στάσιμον ᾄσῃ. Schol. πέδοι βᾶσαι, um leichter und bequemer eine längere Erzählung anzuhören: so wird das Heruntersteigen des Chors in die Orchestra motiviert.

273. διὰ τέλους: vgl. Soph. Ai. 685 διὰ τέλους εὔχου τελεῖσθαι. Ueber die Auflösung zu 76. Diese ist hier dadurch erleichert, dass die Cäsur in den vierten Fuss fällt (zu 2).

275. νῦν in Beziehung auf den folgenden Gedanken ('heute mir, morgen dir'). — ταὐτά (s. v. a. κατὰ κοινόν 'den einen wie den andern betreffend') adverbial (eigentlich Acc. des inneren Objekts) vgl. zu 399 u. Soph. Ai. 687 ταὐτὰ τῇδέ μοι τάδε τιμᾶτε.

276. πρὸς ἄλλοτ' ἄλλον: über die Stellung zu 19 u. zu 762. — Zu dem Gedanken vgl. Archil. frgm. 9,

ΧΟ. οὐκ ἀκούσαις ἐπεθώυξας
τοῦτο, Προμηθεῦ.
καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ' αἰθέρα θ' ἁγνὸν 280
πόρον οἰωνῶν, ὀκριοέσσῃ
χθονὶ τῇδε πελῶ· τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ.

ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σέ, Προμηθεῦ, 285
τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
γνώμῃ στομίων ἄτερ εὐθύνων·

7 ἄλλοτε δ' ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν, ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται. (Pind. Ol. II 60 ῥοαὶ δ' ἄλλοτ' ἄλλαι εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.)

277—83: Die Anapäste des Chors begleiten die Bewegungen der Maschinerie, durch welche Okeanos herbeigeführt wird. Vgl. zu 114.

277. Vgl. Soph. Phil. 1178 φίλα μοι, φίλα ταῦτα παρήγγειλας ἑκόντι τε πράσσειν, Hom Il. 4, 73 ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην. ἐπεθώυξας: zu 73.

279. καὶ = 'und so' ('dem entsprechend').

283. πόνους — διὰ παντὸς ἀκοῦσαι nach dem Versprechen von 272. Dem Wunsche wird erst 755 ff. u. in der Rede des Prometheus 823 ff. Genüge gethan. So wird die gespannte Erwartung erregt u. festgehalten.

284—396: Zweite Scene des ersten Epeisodion: Okeanos, der Vater der Okeaniden, kommt (von rechts) heran, auf einem Flügelrosse (Pegasus, τετρασκελὴς οἰωνός 395) reitend (der Scholiast denkt wegen des Ausdrucks οἰωνὸν an einen Greifen; Meergötter findet man auf alten Kunstdenkmälern öfters auf Hippokampen reitend dargestellt). Die Theatermaschine, welche hierzu diente, war das s. g. αἰώρημα, eine mit Seilen gehaltene Hängemaschine, durch welche Personen in der Höhe fortbewegt, hinaufgezogen und heruntergelassen werden konnten. Der Schol. bemerkt: καιρὸν δίδωσι τῷ χορῷ καθήκασθαι (καθιμᾶσθαι?) τῆς μηχανῆς Ὠκεανὸς ἐλθών· ὑπερβολῇ δὲ ἐχρήσατο, ὅπου γε Ὅμηρος οὐκ εἰσήγαγεν Ὠκεανὸν εἰς τὸν σύλλογον τῶν θεῶν (vgl. Il. 20, 7 οὔτε τις οὖν Ποταμῶν ἀπέην νόσφ' Ὠκεανοῖο). Die Anapäste des Okeanos begleiten die Bewegungen des aus dem Flügelwagen in die Orchestra niedersteigenden Chors. — Diese zweite Scene des ersten Epeisodion mit dem zweiten Epeisodion bildet den zweiten Akt, den Anfang der Handlung, welche zur Katastrophe führt. Vgl. zu 307 und 436.

284 f. δολιχῆς ein episches Wort. Der Weg ist lang, weil Okeanos aus der Tiefe des Meeres kommt, vgl. 300 f. διαμειψάμενος: Sept. 334 διαμεῖψαι ὁδόν, 856 δι' Ἀχέροντ' ἀμείβεται τὰν ναύστολον θεωρίδα. Dicendum erat κέλευθον διαμείβεσθαι, pro quo τέρμα κελεύθου dixit ratione habita verbi ἥκω (Dindorf). Vgl. Eur. Phoen. 163 εἴθε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι δι' αἰθέρος πρὸς ἐμὸν ὁμογενέτορα.

286. πτερυγωκῆ wie ποδώκης gebildet, vgl. ὠκύπτερος.

287. γνώμῃ: admirationis augendae causa non brutus, sed mente ac ratione praeditus esse fingitur

ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
τό τε γάρ με, δοκῶ, συγγενὲς οὕτως
ἐσαναγκάζει, χωρίς τε γένους 290
οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
νείμαιμ' ἢ σοί.
γνώσει δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
σήμαιν' ὅ τι χρή σοι συμπράσσειν· 295
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι

ΠΡ. ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ 300
αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα

(Schütz). Il. 18, 419 haben die aus Gold gearbeiteten Mädchen des Hephästos Verstand, Sprache und thätige Kraft; Od. 8, 556 sind die Schiffe der Phäaken *τιτυσκόμεναι φρεσί, αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν*; wie diese desshalb des Steuermannes u. Steuerruders nicht bedürfen, so bedarf das Thier des Okeanos der Zügel nicht, weil es von selbst dem Gedanken (*γνώμη*) seines Reiters nachkommt.

289. *τὸ συγγενὲς ἐσαναγκάζει*: vgl. 39. Nach Hes. Theog. 133 ist Okeanos Sohn des Uranos u. der Gäa, der älteste der Titanen, vgl. zu 14.

291. *γένους*, *τῆς συγγενείας*. — *ὅτῳ — νείμαιμι*: ohne *ἂν* wie Ag. 620 *οὐκ ἔσθ' ὅπως λέξαιμι*, Cho. 172 *οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν*, Il. 22, 348 *ὡς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι*, Soph. Phil. 695 *οὐκ ἔχων βάσιν οὐδέ τιν' ἐγχώρων κακογείτονα, παρ' ᾧ στόνον ἀποκλαύσειεν*, Eur. Alc. 52 *ἔστ' οὖν ὅπως Ἄλκηστις εἰς γῆρας μόλοι*; 117 *οὐδὲ ναυκληρίαν ἔσθ' ὅποι τις αἴας στείλας δυστάνου παραλῦσαι ψυχάν*. Krüger II § 54, 3, 8. — *μοῖραν νείμαιμι*: Herod. II 172 *ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον*, Plat. Crat. 398 B *μεγάλην μοῖραν καὶ τιμὴν ἔχει*. Diese Bedeutung 'dignitas, Stellung, Rang' hat sich aus der Bedeutung 'Gebühr, dasjenige, worauf man verdienten Anspruch hat' entwickelt: vgl. Soph. Trach. 1238 *ἀνὴρ ὅδ', ὡς ἔοικεν, οὐ νεμεῖν ἐμοὶ φθίνοντι μοῖραν*.

294. *χαριτογλωσσεῖν*: zu 180. — *ἔνι* 'liegt im Charakter', vgl. 224.

296. *Ὠκεανοῦ*: der sprechende gibt die künftigen Gedanken des andern an. So hat die Nennung des eigenen Namens etwas zuversichtliches, vgl. Soph. O. C. 626 *κοὔποτ' Οἰδίπουν ἐρεῖς ἀχρεῖον οἰκητῆρα δέξασθαι*. Zugleich hat die Angabe des Namens den äusseren Zweck die Zuschauer über die Person des auftretenden aufzuklären.

298. *τί χρῆμα*; vgl. Ag. 1306, Cho. 885 *τί δ' ἐστὶ χρῆμα*; Eur. Androm. 896, Suppl. 92, Hipp. 905, Herc. 525, Or. 1573 *ἔα, τί χρῆμα*;

299. *πόνων ἐμῶν ἐπόπτης*: 118. — *ἐτόλμησας λιπὼν ἐπώνυμον ῥεῦμα*: vgl. das zu 284 ff. angeführte Schol.

301. *αὐτόκτιτα*: vgl. *αὐτοφυής*, *αὐτόχυτος*, *αὐτόρριζος*, *αὐτόξυλος* u. a. — *ἄντρα*: 133. — *σιδηρομήτορα*: vgl. Il. 8, 47 *Ἴδην μητέρα θηρῶν*, Astydamas fr. 6 p. 605 N. *οἰνομήτορ' ἄμπελον*. Wegen dieser Benennung von Scythien vgl. Sept. 817 *Σκύθῃ σιδήρῳ*, Suid. *Χάλυβες· ἔθνος Σκυθίας, ἔνθεν ὁ σίδηρος*

ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι καὶ συνασχαλῶν κακοῖς;
δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν συγκαταστήσαντα τὴν τυραννίδα, 305
οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.

ΩΚ. ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.

γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς. 310
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν χόλον

τίκτεται. Nach Hesiod Alex. Strom. I 307) u. Aristoteles (Plin. VII 57 § 197) war das Erzgiessen bei den Scythen erfunden worden; vgl. unten 714.

303. *συνασχαλῶν κακοῖς*: zu 161.

304. *δέρκου* in Beziehung auf *θεωρήσων* vgl. zu 119. — *θέαμα* im Sinne von *θέαμα δυσθέατον ὄμμασι* (79) vgl. Plut. Ages. 14 *θέαμα ταῖς πόλεσιν ἦσαν*. — *τόνδε* von dem sprechenden wie das häufig bei den Tragikern vorkommende *ὅδε ὁ ἀνήρ* = *ἐγώ*.

306. *κάμπτομαι* nach *τόνδε τὸν Διὸς φίλον* dem Sinne entsprechend wie Od. 2, 40 *οὐχ ἑκὰς οὗτος ἀνὴρ ὃς λαὸν ἤγειρα*, Il. 10, 88 *γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα, τὸν περὶ πάντων Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ' ἀυτμὴ ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ*, Soph. O. C. 1329 *τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν*, ebd. 284 *ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον, ῥύου με κἀκφύλασσε*, Trach. 1080 *ὁρᾶτε τὸν δύστηνον ὡς οἰκτρῶς ἔχω*, Eur. Cycl. 290 *νόμος δὲ θνητοῖς ἱκέτας δέχεσθαι . . . , οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν*, Demosth. 18, 79 *οὐδαμοῦ Δημοσθένη γέγραφεν οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ*.

307. Ueber die paränetische Rede des Okeanos bemerkt der Schol.: *σκόπησον τὰ τῶν ῥητόρων καλὰ παρὰ πρώτοις εὑρεθέντα τοῖς τραγικοῖς*. In dieser Scene wird durch freundliche Mahnungen und Warnungen eine Einwirkung auf den Sinn des Prometheus versucht; doch sind die Warnungen dem Charakter des Prometheus gegenüber der Art, dass sie seinen Trotz nur steigern können. — *ὁρῶ Προμηθεῦ*: vgl. 144.

308. *ποικίλῳ· συνετῷ* Schol. vgl. *Προμηθέα ποικίλον, αἰολόμητιν* Hes. Theog. 510, *ποικιλόβουλον* ebd. 521, *Προμηθεὺς ἀγκυλομήτης* ebd. 546, *πάντων πέρι μήδεα εἰδώς* ebd. 559, *πολύιδρις* ebd. 616. — Zu *καίπερ ὄντι ποικίλῳ* vgl. Il. 1, 577 *μητρὶ δ' ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ πατρὶ φίλῳ ἐπίηρα φέρειν Διί*.

309. *γνῶθι σαυτὸν ὡς ὁ ποιητής 'Φράζεο, Τυδείδη καὶ χάζεο'* (Il. 5, 440) Schol.

310. *μεθάρμοσαι*: Eur. Alc. 1157 *νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον τοῦ πρόσθεν*. — *νέους*: proleptisch = *ὥστε νέους εἶναι*. Vgl. Eur. Iph. A. 343 *μεταβαλὼν ἄλλους τρόπους*.

311. *τεθηγμένους*: zu dem Bilde vgl. Sept. 715 *τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ*, Soph. Ai. 584 *γλῶσσά σου τεθηγμένη*.

312. *ῥίψεις* ('schleudern') vgl. 932, Ag. 1068 *οὐ μὴν πλέω ῥίψας* ('verschleudern') *ἀτιμασθήσομαι*,

παρόντα μόχθον παιδιὰν εἶναι δοκεῖν.
ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες, 315
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται.
σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς, 320
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.

καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι 325
ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει.

Eur. Alc. 679 νεανίας λόγους ῥίπτων ἐς ἡμᾶς.

314. Vgl. Terent. Eun. II 3, 9 ludum iocumque dicet fuisse illum alterum, praeut huius rabies quae dabit.

317. ἀρχαῖα: vgl. Arist. Nub. 984 ἀρχαῖά γε καὶ Διπολιώδη καὶ τεττίγων ἀνάμεστα, Cic. or. Philipp. I 10, 25 neglegimus ista et nimis antiqua et stulta ducimus.

319. τἀπίχειρα: eigentlich 'Handgeld' (τὰ ὑπὲρ τὸν μισθὸν διδόμενα τοῖς χειροτέχναις Hesych.), dann 'Lohn' (Arist. Vesp. 581 ταύτης ἐπίχειρα, Plat. Rep. p. 608 C τὰ μέγιστα ἐπίχειρα ἀρετῆς καὶ προκείμενα ἆθλα), vgl. Soph. Ant. 820 οὔτε ξιφέων ἐπίχειρα λαχοῦσα. Zu dem Gedanken bemerkt der Schol. γνωμικῶς δέ φησι, vgl. 329, Pind. Ol. I 85 ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους, Eur. Bacch. 385 ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνας τὸ τέλος δυστυχία, frgm. 5 εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

320. ταπεινὸς εἶ: zu 42. — εἴκεις κακοῖς: vgl. 179, Soph. Ant. 471 δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.

321. δὲ kann an vierter Stelle stehen, wenn die vorausgehenden Wörter Einen Begriff bilden oder in engstem Zusammenhang stehen (wie hier u. 381 Nomen mit Präposition und Artikel). Zum Gedanken vgl. Pers. 531 μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν, Soph. Phil. 1265 μῶν τί μοι νέα πάρεστε πρὸς κακοῖσι πέμποντες κακά, O. R. 667 εἰ κακοῖς κακὰ προσάψει τοῖς πάλαι τὰ πρόσφατα, Philemon Com. IV 34 κακὰ πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει.

323. πρὸς κέντρα κῶλον ἐκτενεῖς ist Umsetzung des sprichwörtlichen πρὸς κέντρα λακτίζειν (κέντρον, stimulus, der Treibstachel für Zugvieh) vgl. Ag. 1624 πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς, Pind. Pyth. II 173 ποτὶ κέντρον δέ τοι λακτιζέμεν τελέθει ὀλισθηρὸς οἶμος, Eur. Bacch. 795 θύοιμ' ἂν αὐτῷ μᾶλλον ἢ θυμούμενος πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ, fr. 607 πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

324. Vgl. 35, 150, 186.

325. πειράσομαι ἐὰν δύνωμαι: vgl. Il. 18, 601 πειρήσεται, αἴκε θέῃσιν, 13, 806 ἐπειρᾶτο, εἴ πώς οἱ εἴξειαν, Plat. leg. 638 E πειρώμενος, ἂν ἄρα δύνωμαι δηλοῦν.

327. λαβροστόμει: vgl. Soph. Ai. 1147 τὸ σὸν λάβρον στόμα, Hom. Il. 23, 474 λαβρεύεαι.

ἢ οὐκ οἶσθ᾽, ἀκριβῶς ὢν περισσόφρων, ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;

ΠΡ. ζηλῶ σ᾽ ὁθούνεκ᾽ ἐκτὸς αἰτίας κυρεῖς, 330
πάντων μετασχεῖν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον μηδέ σοι μελησάτω.
πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ᾽ αὐτὸς μή τι πημανθῇς ὁδῷ.

ΩΚ. πολλῷ γ᾽ ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς 335
ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
δώσειν Διʹ, ὥστε τῶνδέ σ᾽ ἐκλῦσαι πόνων.

ΠΡ. τὰ μέν σ᾽ ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ· 340
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν

328. Ueber die häufige Synizesis von ἢ οὐ vgl. Krüger II § 13, 6, 2. — ἀκριβῶς· ἄκρως Hesych. Zu dem charakteristischen Pleonasmus vgl. 944, Pers. 794 τοὺς ὑπερπόλλους ἄγαν, Il. 7, 39 οἰόθεν οἶος, 97 αἰνόθεν αἰνῶς. — περισσόφρων: zu 308.

329. προστρίβεται: eine derbe Bezeichnung, vgl. Aristoph. Equ. 5 πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

330 ff. ζηλῶ σε: 'du bist beneidenswerth, du darfst froh sein'. — καὶ („auch nur") τετολμηκώς: vgl. zu καὶ 197, zu τετολμηκώς 381. Prometheus sagt: Man könnte erwarten, dass schon der blosse Gedanke, mir deine Theilnahme zu zeigen, dich in Ungnade gebracht habe. Ungeeignet ist πάντων. Nach dem Scholion ἐμοὶ συναλγῶν schreibt Weil πόνων μετασχεῖν vgl. 274. Dem Sinne entpricht am meisten τούτων μετασχεῖν. — ἔασον: in der Bedeutung 'sein lassen' auch Soph. O. C. 593 ὅταν μάθῃς μου, νουθέτει, τὰ νῦν δ᾽ ἔα u. in der Redensart ἔα τοῦτο.

333 f. πάντως — οὐ: vgl. 1053, Eur. Hipp. 1062 πάντως οὐ πίθοιμ᾽ ἄν. — εὐπιθής: vgl. zu ἀτερπῆ 31. Zum Gedanken vgl. 34. — ὁδῷ: vgl. 325 (ὁδός 'Gang'). Zu dem Dativ vgl. λόγῳ 196. — Die Alliteration des π unterstützt den Nachdruck der Rede.

336. Ueber das Asyndeton bei begründendem Verhältnisse vgl. Krüger II § 59, 1, 7. — ἔργῳ κοὐ λόγῳ: vgl. 1080.

337. ὁρμώμενον: με vgl. 176.

338. Vgl. zu 266. Ueber αὐχῶ 'ich schmeichle mir' zu 688, vgl. Eur. Med. 582 γλώσσῃ γὰρ αὐχῶν τἄδικ᾽ εὖ περιστελεῖν.

339. Vgl. 326.

340. τὰ μὲν: die Rede wird anders gewendet u. statt eines τὰ δὲ ('anderntheils') folgt ἀτάρ.

342. μάτην οὐδὲν ὠφελῶν: vgl. Cho. 881 καθεύδουσιν μάτην ἄκραντα βάζω. — ὠφελεῖν findet sich nicht blos bei den dramatischen Dichtern (vgl. Krüger II § 46, 8, 2) häufig mit dem Dativ verbunden, sondern auch in Prosa, so Herod. IX 103 προσωφελέειν ἐθέλοντες τοῖς Ἕλλησι.

ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλοις.

ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα 345
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
οὐ δῆτ', ἐπεί με χαὶ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς

343. *καὶ — θέλοις* drückt einen leisen Zweifel aus, welchen Prometheus mit gewisser Geringschätzung des Okeanos hinzusetzt.

344. *σαυτὸν ἐκποδὼν ἔχων*: 'und halte dich davon fern, lass die Hand aus dem Spiele' vgl. Xen. Cyr. 6, 1, 37 *οἱ δὲ φίλοι προσιόντες συμβουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτόν.*

345. *εἵνεκα*: die epische Form für *ἕνεκα*, welche die Tragiker dem Metrum zu Liebe gebraucht haben, wie *ξεῖνος* für *ξένος*, *κεινός* für *κενός*, *κεῖνος* für *ἐκεῖνος*, *εἱλίσσειν* (138, 1085) für *ἑλίσσειν*, *μοῦνος* für *μόνος* (543, 804).

346. *πλείστοισι πημονὰς τυχεῖν*: Pers. 706 *ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι βροτοῖς.* — Der Schol. bemerkt: *Προμηθικῶς· οὐ γὰρ κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλοὺς αὐτῷ συνατυχεῖν βούλεται ὁ Προμηθεύς* (vgl. das Sprichwort solamen miseris socios habuisse malorum). Dieser Gedanke dient übrigens dem Dichter als Mittel, um etwas, was nicht eigentlich zur Sache gehört, hereinzubringen. Denn die Erwähnung des Atlas ist gleichfalls nur Ueberleitung zur Schilderung des Typhon, durch welche sich der Dichter Gelegenheit verschafft, von dem zerstörenden Ausbruch des Aetna (367—69) zu reden.

347. *οὐ δῆτ', ἐπεί*: vgl. Soph. O. C. 431 *εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε πόλις τὸ δῶρον εἰκότως κατήνεσεν. οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν — οὐδεὶς ἔρωτος τοῦδ' ἐφαίνετ' ὠφελῶν*, Eur. Heracl. 505 *αὐτοὶ δὲ προστιθέντες ἄλλοισιν πόνους παρόν σφε σῶσαι φευξόμεσθα μὴ θανεῖν; οὐ δῆτ', ἐπεί τοι καὶ γέλωτος ἄξια κτέ.*, Alc. 555. — Der Gedanke, durch welchen die folgende Schilderung motiviert wird, ist: 'ich will nicht noch andere mit mir in's Unglück ziehen; das Unglück meines Bruders Atlas u. des Typhon ist für mich schon schmerzlich genug'. — Zu dem folgenden vgl. Hes. Theog. 517 *Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης, πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσιν· ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.*

348. *πρὸς ἑσπέρους τόπους*: 'gegen Abend'. Man denkt an die Richtung, welche derjenige einschlagen muss, der dahin gelangen will, vgl. fr. 327 *Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς*, Od. 13, 240 *ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.*

349. Wie bei Pind. Pyth. I 35 der Aetna als *κίων οὐρανία* bezeichnet wird, so heisst es vom Atlas bei Herod. IV 184 *ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντη, ὑψηλὸν δὴ οὕτω δή τι λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι .... τοῦτον κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι.* Der hoch in die Wolken hineinragende Berg erschien der Phantasie als eine Säule, welche das Himmelsgewölbe trägt (vgl. Verg. Aen. IV 247). Dieser 'Träger' (*ἄτλας*) wurde in der Sage zu einem Titanen, dem zur Strafe die Last des Himmels auf den Nacken gelegt ist (Hes. a. d. voraus a. St.). Umgekehrt werden gewaltige Wesen mit Bergkuppen verglichen. So heisst es Od. X 113 von der Königin der Lästrygonen *τὴν δὲ γυναῖκα εὗρον ὅσην τ' ὄρεος κο-*

ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον. 350

τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ᾤκτειρα, δάιον τέρας
ἑκατογκάρανον πρὸς βίαν χειρούμενον,
Τυφῶνα θοῦρον, πᾶσι δ' ἀντέστη θεοῖς,
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόβον· 355

ρυφήν u. Polyphem gleicht nach Od. IX 191 ῥίῳ ὑλήεντι ὑψηλῶν ὀρέων. — Bei Homer jedoch Od. 1, 53 ἔχει (Ἄτλας) δέ τε κίονας αὐτὸς μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν liegt noch die ursprüngliche Vorstellung von den tragenden Säulen zu Grunde und der persönliche Atlas ist noch nicht ganz an die Stelle der Säulen getreten. Die Erde u. Himmel auseinanderhaltenden Säulen bestehen noch für sich u. Atlas ist nur derjenige, der sie 'hält'. Aeschylus hat sich an Homer angeschlossen; er konnte in Rücksicht auf die allgemein bekannte homerische Stelle kurz κίονα οὐρανοῦ τε καὶ χθονός sagen, indem er an den Zweck der Säule γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχειν dachte, was zum einen Theil nicht unmittelbar durch die Säule, sondern durch den auf die Erde gestemmten Fuss des Atlas erfüllt wird.

351. τὸν Γηγενῆ: Hes. Theog. 820 αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεύς, ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη, — ἐκ δέ οἱ ὤμων ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος. Typhoeus ist eine Personifikation aller Dünste und gasartigen Dämpfe im Innern der Erde, welche Erdbeben u. vulkanische Ausbrüche bewirken. Bei dieser Schilderung des Typhon (od. Typhos) hört man mehr den Dichter als den Prometheus. Die Schilderung selbst ist der bei Pindar Pyth. I 30 sehr ähnlich: ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος, Τυφὼς ἑκατοντακάρανος· τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει, νιφόεσσ' Αἴτνα. — Κιλικίων ἄντρων οἰκήτορα: οἰκήσαντα μὲν ἐν Κιλικίᾳ, κολασθέντα δὲ ἐν Σικελίᾳ (wie bei Pindar) Schol. Bei Homer Il. 2, 781 γαῖα δ' ὑπεστενάχιζε Διὶ ὣς τερπικεραύνῳ χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάσσῃ εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς hat die Sage noch eine andere Gestalt: der homerische Ausdruck Τυφωέος εὐνάς ist bei Pindar wahrscheinlich unter Sicilischem Einfluss in das ganz verschiedene τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον übergegangen, wodurch der ursprünglich an den Vulkanen in Kleinasien haftende Name des Typhon für den Vulkan in Sicilien gewonnen ward. Diese Gestalt der Sage hat Aeschylus benützt.

352. ἰδὼν ᾤκτειρα erinnert an Od. 11, 582 καὶ μὴν Τάνταλον εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα. — δάιον bezeichnet in Typhon nach ursprünglicher Auffassung das zerstörende Wesen des vulkanischen Elements, vgl. Sept. 222 πυρὶ δαΐῳ.

353. ἑκατογκάρανον: so ist Typhon auch in der o. a. St. des Pindar bezeichnet; ebd. Ol. IV 11 ἑκατογκεφάλα Τυφῶνος ὀμβρίμου. Näher kommt der ursprünglichen Bedeutung züngelnder Flammen die Bezeichnung bei Hesiod 825 ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος, γλώσσῃσι δνοφερῇσι λελιχμότες.

354. πᾶσι δὲ: der Uebergang in die Schilderung wie Sept. 568 ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον ἀλκήν τ' ἄριστον, μάντιν Ἀμφιάρεω βίαν· Ὁμολωΐσιν δὲ πρὸς πύλαις — κακοῖσι βάζει κτέ. Vgl. 366.

355. συρίζων φόβον (metonymisch): vgl. Sept. 385 ὑπ' ἀσπίδος

ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων 360
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος.
καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο, 365
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ

δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον.

356. ἤστραπτε in transitiver Bedeutung bei den späteren Dichtern. — γοργωπὸν σέλας: vgl. φλογωπὸν φῶς 253, πυρωπὸν κεραυνόν 667. Häufig sind die mit -ωπός zusammengesetzten Adjektiva bei Euripides.

357 f. Dieser Vers erinnert uns wieder daran, dass Prometheus spricht; denn wie dieser die rohen Kraftanstrengungen der Titanen (πρὸς βίαν τε δεσπόσειν 208) als eitles Beginnen kannte u. verachtete, so hat er auch für das Toben des Typhon nur mitleidige Ironie. In diesem Sinne sagt er das folgende ἀλλ' ἦλθεν κτέ. Vgl. übrigens Hes. Theog. 837:

καί κεν ὅγε (Typhon) θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.

ἦλθεν: vgl. 667, Sept. 444 αὐτῷ .. τὸν πυρφόρον ἥξειν κεραυνόν. — ἄγρυπνον von der Person auf die Sache übertragen: vgl. zu 115, Cleanth. h. in Iov. 10 πυρόεντα ἀεὶ ζώοντα κεραυνόν. D. h. Zeus liess sich nicht überraschen (ὀξὺ νόησε Hesiod.).

359. καταιβάτης: vgl. Arist. Pax 42 Διὸς καταιβάτου ('der in Donner u. Blitz niederfahrende Zeus'), Hor. Carm. III 4, 42 scimus, ut impios Titanas immanemque turmam fulmine sustulerit caduco. — ἐκπνέων φλόγα: vgl. 917, Pind. frgm. 111 πῦρ πνέοντος κεραυνοῦ, Eur. Suppl. 640 κεραυνῷ πυρπόλῳ, Soph. Ant. 1146 πῦρ πνεόντων χοράγ' ἄστρων.

360. ἐξέπληξε: zu 133.

361. φρένας 'praecordia': vgl. 881, Eum. 159 ὑπὸ φρένας, ὑπὸ λοβόν, Od. 9, 301 οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἧπαρ ἔχουσιν u. Schol. zu Il. 11, 579 φρένας ὁ ποιητὴς καὶ πάντες οἱ παλαιοὶ ἐκάλουν τὸ διάφραγμα. Aristot. H. A. II 15 τὸ διάζωμα ὃ καλοῦνται φρένες. Typhon wurde in den Sitz des μέγα φρονεῖν getroffen.

362. ἐξεβροντήθη σθένος: Krüger I § 52, 4, 2.

363. παράορον: der Dichter hat aus Il. 7, 156 πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα die allgemeine Bedeutung von παρήορος ἔνθα καὶ ἔνθα ohne besondere Beziehung von παρα- genommen ('weithin, nach allen Seiten ausgestreckt').

364. στενωποῦ durch den folg. Vers genauer bestimmt vgl. 729.

365. ἰπούμενος: vgl. Pind. Ol. IV 10 Αἴτναν — ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος, frgm. 94 κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος ἀμφίκειται.

366. κορυφαῖς δὲ: das dem Gedanken nach Untergeordnete wird der Schilderung zu Liebe als gleichgeordneter Gedanke behandelt. κορυφαῖς im Gegensatz zu ῥίζαισιν. — μυδροκτυπεῖ: vgl. Thuc. III 66 νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ Ἱερᾷ (eine der liparischen Inseln) ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν.

Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευροὺς γύας·
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον 370
θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.

σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρῄζεις· σεαυτὸν σῷζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην, 375
ἔς τ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.

ΩΚ. οὔκουν, Προμηθεῦ, τοῦτο γιγνώσκεις, ὅτι
ὀργῆς σφριγώσης εἰσὶν ἰατροὶ λόγοι;

366—72 gehören nicht zur Sache; aber auf dieses vaticinium post eventum ist die ganze Schilderung von Atlas u. Typhon abgesehen.

367. *ἐκραγήσονταί ποτε*: die Zuschauer mussten an den Ausbruch von Ol. 75, 2 (479/8 v. Chr.) erinnert werden, dessen die Parische Marmortafel Z. 67 mit den Worten Erwähnung thut: *καὶ τὸ πῦρ ἐρρύη κᾶον ἐν Σικελίᾳ περὶ τὴν Αἴτνην* (nach Boeckh Corp. Inscr. Gr. II S. 302). Von einem Ol. 88, 2 (425 v. Chr.) erfolgten Ausbruch berichtet Thuc. III 116 *γῆν τινα ἔφθειρε (ὁ ῥύαξ τοῦ πυρός) τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ.*

368. *δάπτοντες ἀγρίαις γνάθοις*: wie ein gefrässiges wildes Thier, vgl. Cho. 325 *πυρὸς μαλερὰ γνάθος*, Phrynichus fr. 5 p. 558 N. *πεδία δὲ πάντα καὶ παράκτιον πλάκα ὠκεῖα μάργοις φλὸξ ἐδαίνυτο γνάθοις*, Eur. Med. 1187 *παμφάγου πυρός*, Herod. III 16 *Αἰγυπτίοισι νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τάπερ ἂν λάβῃ.*

369. Vgl. Eur. Herc. 464 *τῆς καλλικάρπου Πελασγίας.*

370. *ἐξαναζέσει*: zu 133.

371. *ἀπλάτου*: vgl. Pind. Pyth. I 39 *τᾶς (Αἴτνας) ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται ἐκ μυχῶν παγαί*, frgm. 94 *ἀλλ' οἷος ἄπλατον κεράϊζες θεῶν Τυφῶν' ἑκατοντακάρανον ἀνάγκα, Ζεῦ πάτερ, εἰν Ἀρίμοις ποτέ*, Eum. 53 *οὐ πλατοῖσι φυσιάμασιν.* — *βέλεσι* von den Lavabächen, die wie Pfeile hervorschiessen.

373 f. Dieser Gedanke dient dazu, wieder zur Sache überzuleiten durch die Erinnerung an den *κεραυνὸς Ζηνός.* — *σὺ δὲ*: damit geht Prometheus auf den Gedanken von 344 zurück; der Gedankenzusammenhang ist derselbe, wie wenn es hiesse: *σὺ δὲ, οὐ γὰρ ἄπειρος εἶ οὐδ' . . χρῄζεις* (vgl. 72 u. zu Eur. Iph. T. 64 f.), *σεαυτὸν σῷζε, ὅπως ἐπίστασαι.* Die Worte *οὐδ' ἐμοῦ διδασκάλου χρῄζεις* erinnern an die Worte des Okeanos 322 *ἔμοιγε χρώμενος διδασκάλῳ.*

376. *ἔς τε* findet sich bei Aeschylus 5mal in unserm Stücke (457, 656, 697, 792) u. 1mal in den Eum. 449. — *λωφήσῃ*: vgl. zu 27.

377—380: vgl. Cic. Tusc. III 31 ut Prometheus ille Aeschyli, cui cum dictum esset

Atqui, Prometheu, te hoc tenere existumo,
mederi posse rationem iracundiae.

respondit

Siquidem qui tempestivam medicinam admovens
non ad gravescens vulnus illidat manus.

378. Menander fab. inc. 23 Mein. IV p. 240 *λύπης ἰατρός ἐστιν ἀν-*

ΠΡ. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ
καὶ μὴ σφυδῶντα θυμὸν ἰσχναίνῃ βίᾳ. 380
ΩΚ. ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
ΠΡ. μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν.
ΩΚ. ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ
κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν. 385
ΠΡ. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.

ΩΚ. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
ΠΡ. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
ΩΚ. ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;
ΠΡ. τούτου φυλάσσου μή ποτ' ἀχθεσθῇ κέαρ. 390

θρώποις λόγος· ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια· λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι ἀστεῖον εἶναι φάρμακον.

379. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ — σφυδῶντα — ἰσχναίνῃ βίᾳ: durch σφριγώσης ist die Vorstellung einer Geschwulst (tumor) erweckt; nach dieser Vorstellung ist dem vorausgehenden ἰατροί entsprechend der Ausdruck gewählt; der Zorn lässt sich behandeln, wenn er ausgetobt u. durch die Zeit das starre u. rauhe abgelegt hat (μαλθάσσειν deutet das weiche u. dem Drucke nachgebende der gezeitigten Geschwulst an), nicht wenn er noch in Wallung u. Gährung ist (σφυδῶν· ἰσχυρός, εὔρωστος, σκληρός Hesych.: die Geschwulst, die sich erst entwickelt, ist wie vollgepfropft, fest u. hart u. rührt sich unsanft an); ἰσχναίνειν 'die Geschwulst ausdrücken' vgl. Aristoph. Ran. 940 οἰδοῦσαν (τὴν τέχνην) . . ἴσχνανα. Durchgängig ist hier eigentlicher u. bildlicher Ausdruck gemischt. — πέπονα φαρμακεύειν, μὴ ὠμά führt der Schol. als einen Satz des Arztes Hippokrates an.

381. Ueber die Stellung von δὲ zu 321.

383. Des weiteren Redens überdrüssig antwortet Prometheus hier u. 386 kurz angebunden, bis auch Okeanos ärgerlich wird u. der Dialog in Stichomythie übergeht. εὐηθίαν: εὐηθία neben εὐήθεια wie ὠφελία neben ὠφέλεια. Ueber die Bedeutung des Wortes vgl. Thuc. III 83 οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη, Plat. rep. III 400E εὐηθείᾳ, οὐχ ἣν ἄνοιαν οὖσαν ὑποκοριζόμενοι καλοῦμεν ὡς εὐήθειαν, ἀλλὰ τὴν ὡς ἀληθῶς εὖ τε καὶ καλῶς τὸ ἦθος κατεσκευασμένην διάνοιαν u. das Wortspiel bei Demosth. 18, 228 κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης κτἑ.

384. τῇδε τῇ νόσῳ νοσεῖν: vgl. Soph. Trach. 544 νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ, El. 650 ζῶσαν ἀβλαβεῖ βίῳ.

386. ἐμὸν δοκήσει: 'es wird sich zeigen, dass ich mit dieser 'Schuld' behaftet bin Recht zu haben, während man im Unrecht zu sein scheint, nicht du'. — ἀμπλάκημα ironisch, wie voraus νόσῳ.

387. σὸς λόγος bezieht sich nicht bloss auf den unmittelbar vorausgehenden Vers, sondern auf den Eindruck der ganzen Unterredung.

388. γὰρ gibt die Bestätigung des vorausgehenden. — θρῆνος: ὁ οἶκτος Schol. — οὑμός: vgl. Pers. 699 τὴν ἐμὴν αἰδῶ μεθείς, Krüger I § 47, 7, 8.

389. νέον: zu 35. — Ueber den Accusativ ἕδρας vgl. Krüger II § 46, 6, 2.

ΩΚ. ἡ σή, Προμηθεῦ, ξυμφορὰ διδάσκαλος.
ΠΡ. στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
ΩΚ. ὁρμωμένῳ μοι τόνδ' ἐθώυξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἂν — 395
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

(στροφὴ α')

ΧΟ. στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ,
δακρυσίστακτα δ' ἀπ' ὄσσων ῥαδινὸν λει-
βομένα ῥέος παρειὰν — 400
νοτίοις ἔτεγξα παγαῖς.
ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων
ὑπερήφανον θεοῖς τοῖς
πάρος ἐνδείκνυσιν αἰχμάν. — 405

391 f. Mit dieser Antwort zeigt Okeanos, wie wenig seine Gesinnung der des Prometheus entspricht. Darum erwidert Prometheus mit Emphase *στέλλου, κομίζου, σῷζε*. Ueber das Asyndeton vgl. zu 56 u. unten 937, Soph. El. 632 *ἐῶ, κελεύω, θῦε*.

393. *ὁρμωμένῳ — λόγον* gibt den Sinn wie wenn es hiesse: *ὁρμωμένῳ μοι ἐθώυξας ὁρμᾶσθαι* („es bedarf der Aufforderung nicht“). Vgl. 277. — Okeanos spricht mit dem Ausdrucke schlecht verhehlten Aergers. Zugleich deutet der Dichter die Art u. Weise des Abtretens an.

394. *ψαίρει*: vgl. Verg. Aen. V 216 mox aere lapsa (columba) quieto radit iter liquidum, XI 756 aethera verberat alis (aquila). Hier von der Bewegung der Flügel des zum Fluge sich anschickenden Thieres. Damit setzt sich die Maschinerie in Bewegung.

397—435 erstes Stasimon. Das ionische Mass entspricht dem wehmüthigen Inhalte, welcher an die Worte Fr. v. Schlegels erinnert 'Es geht ein allgemeines Jammern, so weit die stillen Sterne scheinen, durch alle Adern der Natur'.

397. Die epische Form *οὐλόμενος* findet sich zuweilen in lyrischen Stellen der Tragiker. *ὀλόμενος* 'perditus, verwünscht, heillos, unselig'. Die Bedeutung entspricht dem Fluch *ὄλοιο* wie *ὀνήμενος* ('gesegnet') dem Segenswunsch *ὄναιο*. Ueber den Gen. der Relation Krüger I § 47, 21.

398 ff. *δακρυσίστακτα* adverbial: vgl. Eur. Or. 410 *εὐπαίδευτα δ' ἀποτρέπει λέγειν*, Phoen. 310 *μόλις φανεὶς ἄελπτα κἀδόκητα*, 1739 *ἀπαρθένευτ' ἀλωμένη*, Soph. Ant. 527 *φιλάδελφα κάτω δάκρυ λειβομένη*, El. 962 *ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε*. — *ῥαδινόν· λεπτόν, ἰσχνόν, εὐκίνητον, ἁπαλόν, εὐδιάσειστον*. Mit *ῥαδινὸν ῥέος* (Alliteration) hat der Dichter das homerische *τέρεν δάκρυ* (Il. 3, 142; 19, 323) wiedergegeben. — *νοτίοις ἔτεγξα παγαῖς*: vgl. Soph. Ant. 1123 *ὑγρῶν Ἰσμηνοῦ ῥείθρων*, Eur. Ion 105 *ὑγραῖς ῥανίσιν νοτερόν*, Herc. 98 *δακρυρρόους πηγάς*.

402 ff. *ἀμέγαρτα* (vgl. 143) *τάδε* abhängig von *κρατύνων*. — *ἰδίοις νόμοις*: vgl. 186. — *θεοῖς τοῖς πάρος* vgl. 151. — *αἰχμή* 'die Lanzenspitze' hier metonymisch für Gewaltherrschaft: vgl. Cho. 630 *γυναικείαν ἄτολμον αἰχμάν*.

(ἀντιστροφὴ α΄)

πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα
μεγαλοσχήμονά τ' ἀρχαιοπρεπῆ ⟨*θ' ἑ-*
σπέριοι⟩ *στένουσι τὰν σὰν*
συνομαιμόνων τε τιμάν, 410
ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται,
μεγαλοστόνοισι σοῖς πή-
μασι συγκάμνουσι θνατοί.

(στροφὴ β΄)

Κολχίδος τε γᾶς ἔνοικοι 415
παρθένοι μάχας ἄτρεστοι
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαι-
ῶτιν ἔχουσι λίμναν,

(ἀντιστροφὴ β΄)

Ἀρίας τ' ἄρειον ἄνθος 420

406. *στονόεν λέλακε* (transitiv 'ertönen lassen'): vgl. Ag. 711 *πολύθρηνον μέγα που στένει*, Pers. 944 *ἥσω τοι καὶ πάνδυρτον.*

407 f. *μεγαλοσχήμονα*: vgl. *εὔμορφον κράτος* Cho. 490. — *ἀρχαιοπρεπῆ* im Gegensatz zur jungen Herrschaft des Zeus. — *ἑσπέριοι* ergänzt nach Od. 8, 29 *ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων*: West u. Ost, Ausführung von *πρόπασα χώρα.*

409. *συνομαιμόνων*: des Atlas u. Typhon, welche beide in der westlichen Gegend dulden.

410. *ἔποικον ἕδος Ἀσίας νέμονται* = *Ἀσίαν ἐποικοῦσι*; *ἔποικον* steht in allgemeiner, bloss den Begriff 'Wohnung' angebender Bedeutung ('Wohn-Sitz'). Mit Unrecht denkt der Schol., welcher *ἔποικος* im speciellen Sinne nimmt, an einen Anachronismus (*οὔπω γὰρ ἦν ἐποικισθεῖσα τοῖς Ἕλλησιν ἡ Ἀσία*). Zu *Ἀσίας ἕδος* vgl. *Ἰθάκης ἕδος* Od. 13, 344, *Θήβης ἕδος* Il. 4, 406.

414. *συγκάμνουσι*: nicht *σὺν ἡμῖν κάμνουσι* (Schol.), sondern wie oben *συνασχαλᾶν* (161, 243), *συμπονεῖν* (274); vgl. Eur. Alc. 614 *ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον.*

416. *παρθένοι*: vgl. zu 723. — *μάχας ἄτρεστοι*: vgl. Soph. O. R. 885 *Δίκας ἀφόβητος*, Sept. 875 *κακῶν ἀτρύμονες*, Pers. 51 *λόγχης ἄκμονες*. Krüger II § 47, 26, 9.

417 f. *Σκύθης*: zu 2. — *οἵ*: *σχῆμα πρὸς τὸ σημαινόμενον*, vgl. 421, 805, 808. — *γᾶς ἔσχατον τόπον*: vgl. 666, Soph. Trach. 1100 *ἐπ' ἐσχάτοις τόποις.*

420. *Ἀρίας* (vgl. Anhang): Choeph. 423 *Ἄριον*, wozu der Schol. bemerkt *Περσικόν*, Hesych. *Ἀρείας πώλους· Περσικάς· Ἄρειοι γὰρ ἔθνος Περσικόν.* *Ἀρίας ἄρειον* ein etymologisches Wortspiel: vgl. frgm. 305 *τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν*, auch Eum. 156 *ὄνειδος ἐξ ὀνειράτων*, Pers. 995 *ἄρειόν τ' Ἀγχάρην*, Il. 6, 201 *ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήιον οἶος ἀλᾶτο* u. zu 86 u. 692. — *ἄνθος*: vgl. Ag. 197 *ἄνθος Ἀργείων*, Pers. 59 *ἄνθος Περσίδος αἴας οἴχεται ἀνδρῶν*, 59, 252, 925, Suppl. 663 *ἥβας δ' ἄνθος.*

ὑψίκρημνον οἳ πόλισμα
Καυκάσου πέλας νέμουσιν,
δάιος στρατὸς, ὀξυπρῴ-
ροισι βρέμων ἐν αἰχμαῖς.

(στροφὴ γ')

μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις 425
δαμέντ' [ἀκαμαντοδέτοις]
Τιτᾶνα [λύμαις] εἰσιδόμαν θεὸν
Ἄτλανθ' ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν
⟨γαίας⟩ οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει. 430

(ἀντιστροφὴ γ')

βοᾷ δὲ πόντιος κλύδων συμπίτνων, στένει βυθός,

421. *ὑψίκρημνον πόλισμα*: damit ist wahrscheinlich das hochgelegene Ekbatana (*Ἀγβάτανα* Pers. 961), die Hauptstadt der Meder, gemeint.

422. *Καυκάσου πέλας*: eine Bestimmung, wie die vorausgehende *ἀμφὶ Μαιῶτιν λίμναν*. — *νέμουσιν*: vgl. Eum. 1019 *Παλλάδος πόλιν νέμοντες*.

423. *ὀξύπρῳρος*: vgl. *βούπρῳρος*, *ἀνδρόπρῳρος*. — *βρέμων ἐν αἰχμαῖς*: vgl. Eur. Phoen. 113 *πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων*. Zu *ἐν αἰχμαῖς* vgl. Eur. El. 321 *καὶ σκῆπτρ' ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει*, Xen. Mem. III 9, 2 *ἐν πέλταις καὶ ἀκοντίοις διαγωνίζεσθαι*.

425. Zu dem Gedanken 'ich beweine deine Qual mit der gesammten Menschheit' bringt die dritte Strophe noch das einzige Beispiel einer ähnlichen Qual, welche dann selbstständig geschildert wird der Ausführung homerischer Gleichnisse entsprechend. Die Vergleichung von Beispielen der Vergangenheit findet sich öfter bei den Tragikern Cho. 603 ff., Soph. Ant. 944 ff., El. 837 ff., Phil. 676 ff., Eur. Med. 1282 *μίαν δὴ κλύω μίαν τῶν πάρος γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις κτέ.*, Hipp. 545 ff., Herc. 1017 ff.

425—430. Die Responsion mit der Antistrophe ist durch Interpolation entstellt. Vgl. den Anhang.

426. *δαμέντα ἐν πόνοις*: *ἐν* steht nicht wie z. B. Pers. 251 *ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος* u. ö. statt des blossen dat. instr., sondern bezeichnet das Verharren in der Qual (*πόνοις ἐνεζευγμένον*), vgl. zu 168. — *ἀκαμαντοδέτοις* (eine Handschrift *ἀδαμαντοδέτοις*) *λύμαις* ist aus 148 interpoliert. — *θεὸν* wie sein Bruder Prometheus.

429 ff. Zum Gedanken vgl. 348 ff. Noch allgemeiner als dort ist hier von einem Tragen des Himmels u. der Erde die Rede. Doch liegt in dem Ausdruck *σθένος γαίας* eine Andeutung der eigentlichen Vorstellung von der Art u. Weise des Tragens. Denn während das Himmelsgewölbe eine d r ü c k e n d e L a s t ist, kommt bei der Erde, welche niedergehalten werden muss, die S t ä r k e, mit welcher sie dem Drucke des Fusses e n t g e g e n w i r k t, in Betracht. — *πόλον*: vgl. Schol. zu Aristoph. Av. 179 *πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι* (Punkt) *καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ* (frgm. 597) '*τὸν Ἀτλάντειον τηροῦσι πόλον*'. — *νώτοις ὑποστενάζει* d. i. *νώτοις βαστάζων στενάζει*. Doch s. den Anhang.

835. Statt der interpolierten Worte μέλλουσ' ἔσεσθαι erwartet man den Gedanken ἆρα μάτην λέγω (vgl. 824) ἢ τῶνδε προσσαίνει σέ τι; etwa κλύεις μάταιʼ ἢ τῶνδε προσσαίνει σέ τι; indem Prometheus die genaue Kenntniss der Worte des Orakels als das beste τεκμήριον (826) betrachtet, vgl. Ag. 1194, wo Kasandra sich ihre gründliche Kenntniss der früheren Gräuel des Atridenhauses vom Chore bestätigen lässt: ἥμαρτον ἢ θηρῶ τι τοξότης τις ὥς; ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων, Soph. Oed. R. 1140 λέγω τι τούτων ἢ οὐ λέγω πεπραγμένον; — προσσαίνει: ὑπομιμνήσκει σε Schol. 'berührt dich schmeichelnd, erweckt in dir eine holde Erinnerung', vgl. Soph. Ant. 1214 παιδός με σαίνει φθόγγος, Eur. Hipp. 862 καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου τῆς οὐκέτ' οὔσης τῆσδε προσσαίνουσί με. Uebrigens steht der Satz parenthetisch.

836. οἰστρήσασα: vgl. Eur. Iph. A. 77 ὁ δὲ καθ' Ἑλλάδ' οἰστρήσας δρόμῳ ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται.

κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζει δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται, 840
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς
ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.

τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος. 845
ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονὸς
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα

837. *κόλπον Ῥέας*: *καὶ Ἀπολλώνιος* (Argon. IV 327 *δή ῥα τότε Κρονίην Κόλχοι ἅλα δ' ἐκπρομολόντες*) *Κρονίην ἅλα τὸν Ἰόνιόν φησι. οὕτω γὰρ ἐκαλεῖτο.* Schol. — *μέγαν*: Verg. Aen. III 211 insulae Ionio in magno, dazu Servius: sciendum Ionium sinum esse immensum ab Ionia usque ad Siciliam et huius partes esse Adriaticum, Achaicum, Epiroticum.

838. *παλιμπλάγκτοισι*: *πάλιν* bedeutet 'vom Meer ab ins feste Land zurück', vgl. Hom. Od. 13, 5 *παλιμπλαχθέντα*. *χειμάζει* (zu 563): das Präsens zeigt an, dass die Ankunft bei Prometheus zu diesem letzten Laufe gehört.

840. *Ἰόνιος*: eine unrichtige Etymologie. In *Ἰόνιος* ist hier, wie Eur. Phoen. 208 (*Ἰόνιον κατὰ = ἴσα δ' ἀγάλμασι*), die erste Silbe kurz. (Io hat bei Ovid. Her. XIV 103 die erste Silbe kurz.)

841. *τῆς σῆς πορείας*, itineris tui, aditus tui (Schütz); anders 733 (traiectionis tuae).

843. *τοῦ πεφασμένου*: *τοῦ φανεροῦ*. Schol.

845. *τῶν πάλαι* (von der nächsten Vergangenheit wie Ag. 587 *ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο, ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός*) *λόγων*: vgl. 815.

846. *ἔστιν πόλις Κάνωβος*: in epischer Weise und mit epischer Wendung wird die Schilderung der Oertlichkeit der Beschreibung der Begebenheiten vorausgeschickt, vgl. Od. 3, 293 *ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη*, Il. 2, 811 *ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα κολώνη* (bei lateinischen Dichtern est locus); Soph. Trach. 237 *ἀκτή τις ἔστ' Εὐβοιίς*, 752 *ἀκτή τις ἀμφίκλυστος ἔστιν*, Ant. 966 *παρὰ δὲ κυανέων σπιλάδων ἀκταὶ Βοσπόριαι ἰδ' ὁ Θρηκῶν Σαλμυδησσὸς ἵνα κτέ.*, Eur. Hipp. 1199 *ἀκτή τις ἔστι τοὐπέκεινα τῆσδε γῆς*, Iph. T. 262 *ἦν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ κοιλωπὸς ἀγμός*, 1450 *χῶρός τις ἔστιν Ἀτθίδος πρὸς ἐσχάτοις ὅροισι*, auch Aesch. Pers. 447. — *χθονός*: 'ihres Landes', Suppl. 717 *οἴακος ἰθυντήριος ὑστάτου νεώς*. Vgl. Suppl. 311 *καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο* (*Ἰώ*).

847. *προσχώματι*: *τῷ ὑπὸ τοῦ ποταμοῦ ἐτησίῳ προσθήματι τοῦ χώματος.* Schol. Vgl. Sol. fr. 28 *Νείλου ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς.*

848. *τίθησιν*: dem Prometheus schwebt die Zukunft wie Gegenwart vor. Vgl. zu 109 und 211. — *ἔμφρονα*: weil die Sage geändert ist; nach der gewöhnlichen Sage (zu 561) *ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς πάλιν εἰς γυναῖκα μετεμόρφωσε* (Schol. zu Eur. Phoen. 678), vgl. Ovid. Met. I 738 vultus capit illa priores fitque quod ante fuit.

ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.
ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων 850
τέξεις κελαινὸν Ἔπαφον· ὃς καρπώσεται
ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα·
πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντάπαις
πάλιν πρὸς Ἄργος οὐχ' ἑκοῦσ' ἐλεύσεται
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον 855
ἀνεψιῶν· οἳ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται θηλυκτόνῳ 860

849. Das Wort ἐπαφῶν ist gebraucht um der Etymologie des Namens Ἔπαφος willen (vgl. Suppl. 46 ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰὼν εὐλόγως, Ἔπαφόν τ' ἐγέννασεν); die durch ἐπαφῶν ἀταρβεῖ χειρί angegebene Leichtigkeit und Schmerzlosigkeit der Umwandlung wird noch näher bestimmt durch καὶ θιγὼν μόνον wie Suppl. 576 βίᾳ δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις παύεται, 1065 Ἰὼ πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχεθὼν, εὐμενεῖ βίᾳ κτίσας, 45 ἐξ ἐπιπνοίας Ζηνὸς ἔφαψιν.

850. In zarter Weise deutet Prometheus dadurch, dass er τῶν Διὸς γεννημάτων für τῆς Διὸς ἐπαφῆς sagt, an, was sich von selbst verstand u. was Suppl. 312 καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον ausdrücklich angegeben wird, wie auch schon oben 834 darauf hingewiesen ist. — ἐπώνυμον τῶν Διὸς γεννημάτων bedeutet 'benannt nach der Art und Weise des γεννᾶν (durch ἐπαφή)', wie es Suppl. 315 Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος heisst ('nach der Art der Herstellung durch ἐπαφή').

851. τέξεις: dieselbe Form auch 869; die mediale 768.

852. πλατύρρους: vgl. frgm. 304 ἔνθα Νεῖλος ἑπτάρους (die aufgelöste Form frgm. 280 πλεκτάνην χειμάρροον).

853. πέμπτη: zu 774.

854. οὐχ ἑκοῦσα: erklärt durch den Zusatz φεύγουσα . . ἀνεψιῶν. — ἐλεύσεται: ἐλεύσομαι noch Suppl. 522; sonst kommt bei attischen Dichtern nur εἶμι vor.

855 f. συγγενῆ steht motivierend für φεύγουσα. — ἀνεψιῶν: vgl. Suppl. 320 Δαναός· ἀδελφὸς δ' ἐστι πεντηκοντάπαις . . Αἴγυπτος. — ἐπτοημένοι: Eur. Iph. A. 586 ἔρωτι δ' αὐτὸς ἐπτοάθης, Sappho fr. 2, 5 καὶ γελαίσας ἱμερόεν, τό μοι μὰν καρδίαν ἐν στήθεσιν ἐπτόασεν, Apoll. Rh. I 1232 τοῦ δὲ φρένας ἐπτοίησεν Κύπρις.

857. κίρκοι: in dichterischer Weise ist das Gleichniss ohne comparative Conjunktion beigesetzt. Zu dem Gleichnisse vgl. Suppl. 223 ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ, Il. 22, 139 ἠΰτε κίρκος ὄρεσφιν ἐλαφρότατος πετεεινῶν ῥηιδίως οἴμησε μετὰ τρήρωνα πέλειαν.

859. φθόνον ἕξει, φθονήσει: vgl. χρείαν ἔχειν oben 169, Cho. 481. Der Sinn ist 'Gott wird ihnen versagen, wornach sie jagen', σωμάτων τῶν παρθένων φθονήσει αὐτοῖς (vgl. 584); 'puellarum fructum deus maritis invidebit' (Heyne). Die Ehe wird zwar geschlossen werden, aber es wird eine Bluthochzeit werden.

860 f. Für δέξεται verlangt Sinn u. Construction des Satzes αἱμάξεται (= αἱμαχθήσεται wie Soph. Phil. 48 φυλάξεται = φυλαχθήσεται, vgl. Ag. 1589 θανὼν πατρῷον αἱμάξαι πέδον, Pers. 595 αἱμαχθεῖσα

Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος·
τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ 865
κτεῖναι σύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος·
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς. 870
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινὸς ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπη, ταῦτα δεῖ μακροῦ λόγου 875

δ' ἄρουρα, Eur. Herc. 573 *αἱμαχθήσεται Δίρκης νᾶμα*. Wegen des Mangels der gewöhnlichen Cäsur vgl. zu 640 u. oben S. 23 Note). — *Πελασγία*: vgl. Eur. Suppl. 367 *καὶ μεγάλᾳ Πελασγίᾳ καὶ κατ' Ἄργος*, Strabo p. 221 *Αἰσχύλος ἐκ τοῦ περὶ Μυκήνας Ἄργους φησὶν ἐν Ἱκέτισι καὶ Δαναΐσι τὸ γένος αὐτῶν* (nämlich *τῶν Πελασγῶν*) *καὶ τὴν Πελοπόννησον δὲ Πελασγίαν φησὶν Ἔφορος κληθῆναι*. Es ist das Land des Pelasgos (Suppl. 250) d. i. Argos (Suppl. 634) gemeint. — *Ἄρει*, *φόνῳ*. — *δαμέντων*, *αὐτῶν*, Krüger I § 47, 4, 3. — *νυκτιφρουρήτῳ*: Schol. *τῷ νυκτὸς ἐπιτηρήσαντι*, vielmehr „nachtwachend". Vgl. zu 599.

862. *ἕκαστον* erstreckt die Geltung seines Begriffs auch auf *γυνή*. — *αἰῶνος στερεῖ*: vgl. Il. 22, 58 *αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς*, 16, 453 *ἐπὴν δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών*.

863. *ἐν σφαγαῖσι βάψασα ξίφος*: vgl. Soph. Ai. 95 *ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ*; *ἐν σφαγαῖσι* wie *ἐν φόνῳ* 'im Blute der Gemordeten'. (Blomfield erklärt nach Ruhnken *ἐν σφαγαῖσι* 'in iugulo' und vergleicht Eur. Orest. 291 *μήποτε τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος*, Arist. H. An. I 14 *κοινὸν δὲ μέρος αὐχένος καὶ στήθους σφαγή* (bei Thieren), Polyaen. VIII 48 *τὸ ξίφος καθεῖσα διὰ τῆς σφαγῆς*, Antonin. Liberal. 25 *ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα καὶ ἀνέρρηξαν τὴν σφαγήν*).

864. Vgl. Suppl. 1032 *μηδ' ὑπ' ἀνάγκας γάμος ἔλθοι Κυθερείας· στυγερῶν πέλοι τόδ' ἆθλον*, Xenoph. Anab. III 2, 3 *οἶμαι γὰρ ἂν ὑμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν*.

865. *μίαν*: zu 774. — *θέλξει τὸ μή*: zu 236.

866 f. *ἀπαμβλυνθήσεται*: *ἀπαμβλύνειν* ut *ἀμβλύνειν* de impetu animi retardato ponitur. Comparatio a retusa ferri acie ducta est. Sic Sept. 715 *τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ* (Schütz). — Vgl. die Worte der Hypermnestra bei Ovid. Her. XIV 9 esse ream praestat quam sic placuisse parenti. Non piget immunes caedis habere manus.

869 f. Prometheus beginnt, als ob er alles berichten wollte, bricht aber plötzlich ab. In diesem Sinne ist das Asyndeton *μακροῦ λόγου δεῖ* zu deuten. Zu *μακροῦ λόγου* vgl. Pers. 713 *πάντα γὰρ ἀκούσει μῦθον ἐν βραχεῖ λόγῳ*.

874. *διῆλθε* wie *διεῖπε* ('legte ausführlich dar'). — *Τιτανὶς Θέμις*: zu 210.

875. Die Verbindung von *ὅπως*

εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.

ΙΩ. ἐλελεῦ, ἐλελεῦ,
ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς
μανίαι θάλπουσ', οἴστρου δ' ἄρδις
χρίει μ' ἄπυρος· 880
κραδία δὲ φόβῳ φρένα λακτίζει·
τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης

u. ὅπῃ soll jeglichen Umstand zusammenfassen. Zu der Ellipse vgl. 915. Was Prometheus hier verschweigt, erfährt der Zuschauer im Προμηθεὺς λυόμενος.

878. Der Dichter benützt als Motiv für das Abtreten der Io einen neuen Anfall des Wahnsinnes (οἶστρος). Io primos tantum furoris impetus verbis describit, reliquos vero scena egressa spectatoris imaginationi coniciendos relinquit (Schütz). — ἐλελεῦ: θρηνῶδες ἐπίφθεγμα Schol. ἐλελεῦ· ἐπιφώνημα πολεμικόν· οἱ δέ, προαναφώνησις παιανισμοῦ· τίθησι δὲ αὐτὸ Αἰσχύλος ἐπὶ σχετλιασμοῦ ἐν Προμηθεῖ δεσμώτῃ. Hesych. Der Schlachtruf ist gewählt, um den Sturm des Wahnsinns darzustellen. — ὑπὸ — θάλπουσι, vgl. zu 574. Die Einschiebung von bedeutenderen und mehreren Wörtern (nicht bloss einsilbigen Conjunctionen u. enklitischen Pronomina) zwischen Präposition und Verbum findet sich bei Aeschylus mit Ausnahme von Ag. 1215 und der zweifelhaften Stelle Sept. 1028 niemals im Trimeter.

879. ὑποθάλπουσι: ὑπὸ bedeutet s. v. a. 'fangen an'. Zu θάλπειν vgl. die Worte der von innerer Begeisterung ergriffenen Seherin Kasandra Ag. 1256 παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι. — σφάκελος: σπασμὸς τοῦ ἐγκεφάλου. Schol. vgl. Eur. Hipp. 1351 διά μου κεφαλᾶς ᾄσσουσ' ὀδύναι, κατὰ δ' ἐγκέφαλον πηδᾷ σφάκελος.

880. ἄρδις: ἀκίς Αἰσχύλος Προμηθεῖ δεσμώτῃ. Hesych. — ἄπυρος erklärt der Schol. ἡ πολύπυρος διὰ τὸ σφοδρὸν πάθος (mit Annahme des s. g. α intensivum) ἢ πῦρ μὴ ἔχουσα. Letztere Erklärung im Sinne von 'telum igni non admotum, sine igne factum' haben Schütz u. Hermann zur Geltung gebracht. Adiectivo ἄπυρος telum metaphorice dictum a proprie sic appellato discrevit Aeschylus (Schütz), vgl. Cho. 493 πέδαις ἀχαλκεύτοις von dem Fanggarne der Klytämnestra; frgm. 298, 4 ἄπτεροι πελειάδες von den Pleiaden, Ag. 1258 δίπους λέαινα von der Klytämnestra, Sept. 64 κῦμα χερσαῖον στρατοῦ, ebd. 942 ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς vom Schwerte, Soph. Trach. 874 βέβηκε Δηιάνειρα τὴν πανυστάτην ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός, O. R. 190 Ἄρεα . . ὃς νῦν ἄχαλκος ἀσπίδων (von der Pest), Eur. fr. 598 αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις, Iph. T. 1095 ἄπτερος ὄρνις, Or. 621 ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.

881. φρένα: zu 361. — Zu der ganzen Vorstellung vgl. Cho. 165 ὀρχεῖται δὲ καρδία φόβῳ, 1025 πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος, η δ' ὑπορχεῖσθαι κρότῳ, Ag. 996 πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ, Hom. Il. 7, 216 Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν.

882. Mit τροχοδινεῖν vgl. στροφοδινεῖν Ag. 51.

883. ἔξω δρόμου ('Bahn') φέρομαι: vgl. Cho. 1022 ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου ἐξωτέρω· φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι, Ag. 1245 ἐκ δρόμου πεσὼν τρέχω und unser 'aus dem Geleise kommen'.

πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ 885
στυγνῆς πρὸς κύμασιν ἄτης.

(στροφή)

ΧΟ. ἦ σοφὸς ἦ σοφὸς ὃς
πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ, 890
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

(ἀντιστροφή)

μήποτε μήποτέ μ', ὦ

884. γλώσσης ἀκρατής: vgl. Theogn. 503 οἰνοβαρέω κεφαλὴν .. γλώσσης οὐκέτ' ἐγὼ ταμίης ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει, Lucret. III 454 claudicat ingenium, delirat lingua.

885. θολεροί: Hesych θολερόν· ταραχῶδες, ἀκάθαρτον, βορβορῶδες, τεταραγμένον, vgl. Schol. Ai. 206 θολερῷ χειμῶνι νοσήσας. Das Adjectiv erinnert an den Schlamm, der durch die Wogen vom Meeresgrunde aufgewühlt wird (κελαινὰν θῖνα Soph. Ant. 589). Wie die wogenden Wellen den Schlamm bald dahin bald dorthin führen, so werden die an die Wogen des Irrsinns schlagenden Reden von denselben plan- und ordnungslos (εἰκῇ, dem vorausgehenden ἀκρατὴς γλώσσης entsprechend) herumgetrieben und können keine bestimmte Bahn und Ordnung finden. — παίουσι πρὸς κύμασιν: vgl. Eur. Hec. 116 πολλῆς δ' ἔριδος συνέπαισε κλύδων.

887—906 drittes Stasimon. Ueber das Metrum s. zu 526. Die ruhige Betrachtung des Chors contrastiert auf das beste mit dem Irren u. Wirren der vorausgehenden Scene.

887. ἦ σοφός: τὸν Πιττακὸν λέγει, welcher einem, der zweifelte, ob er ein reiches oder ein armes aber seinem Stande entsprechendes Mädchen zur Frau nehmen solle, gerathen habe den Kindern zuzusehen, die in der Nähe mit dem Kreisel spielten; dabei habe dieser den Ruf vernommen τὴν καθ' ἑαυτὸν ἔλαυνε. Schol. (τὴν κατὰ σαυτὸν ἔλα in dem Epigramm des Kallimachos bei Diog. L. I 80). Ein Schol. vergleicht dazu Pind. Pyth. II 64 χρὴ δὲ καθ' αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον, εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν ἔβαλον ποτὶ κοῖτον ἰόντα. — Auf ähnliche Art wird eine Gnome angeführt Soph. Ant. 620 σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται; vgl. Ag. 369 οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν κτέ., 750 παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται, Cho. 313 δράσαντι παθεῖν τριγέρων μῦθος τάδε φωνεῖ. — Ueber die Auslassung von ἦν vgl. Krüger I § 62, 1, 6.

888. ἐβάστασε: ἐδοκίμασεν· „Ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντῃ" (Od. 21, 405). Schol. Vgl. Aristoph. Thesm. 438 πάσας δ' ἰδέας ἐξήτασεν, πάντα δ' ἐβάστασεν φρενί, Polyb. VII 13 πᾶν ἐβάστασε πρᾶγμα καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφει.

891. Der Gleichklang in διαθρυπτομένων und μεγαλυνομένων malt den gleichen Werth der beiden.

⟨πότνιαι⟩ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέ-
λουσαν· 895
μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς ἀμαλαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων. 900

(ἐπῳδός)

ἐμοὶ δὲ τιόμενος ὁμαλὸς ὁ γάμος ἄφοβος
[οὐ δέδια] μηδὲ κρεισσόνων θεῶν
ἔρως ἄφυκτον ὄμμα προσδράκοι με.
ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος·

895 f. *εὐνάτειραν — πλαθείην*: vgl. Soph. O. R. 1099 *τίς σ' ἔτικτε τᾶν μακραιώνων ἄρα Πανὸς ὀρεσσιβάτα πατρὸς πελασθεῖσ' ἤ σέ γ' εὐνάτειρα Λοξίου;* — *τῶν ἐξ οὐρανοῦ* wie 902 *κρεισσόνων θεῶν*. Die Präposition *ἐξ* entspricht der Vorstellung „die vom Himmel zu mir herab kommen“. Vgl. zu 702.

898. *ἀστεργάνορα παρθενίαν*: 'virginitatem viri sive proci non amantem' ut *φυξανορίᾳ* Suppl. v. 9 'procorum fuga'. Odium erga Iovem Io ipsa prodiderat v. 759 (Schütz), vgl. *στυγάνορα* 724, *γάμον δυσάνορα* Suppl. 1064.

899. *ἀμαλαπτομέναν*: vgl. Lycophr. 34 *ἠμάλαψε κάρχαρος κύων*, Hesych. *ἠμαλάψαι· κρύψαι, ἀφανίσαι* (vielmehr *ἠμάλαψε· ἔκρυψε, ἠφάνισε*). *Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ*, Photius p. 68, 3 *ἠμάλαπτεν· ἔκρυπτεν, ἠφάνιζεν*. Hesych. *ἀμαλόν· ἁπαλόν, ἀσθενῆ* (Eur. Heracl. 75).

900. *ἀλατείαις πόνων*: über die qualitative Bedeutung des possessiven u. materialen gen. s. Krüger II § 47, 5 u. 6, 2, vgl. Eur. Iph. A. 1230 *πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς*, auch Bacch. 1218 *μόχθων* (gewöhnlich *μοχθῶν*) *μυρίοις ζητήμασι*, Soph. Ai. 888 *τὸν μακρῶν αλάταν πόνων*. — *δυσπλάνοις ἀλατείαις*: vgl. Ag. 1136 *κακύποτμοι τύχαι*, Pers. 711 *βίοτον εὐαίωνα*, Soph. O. C. 716 *εὐήρετμος πλάτα*, Ai. 138 *λόγος κακόθρους*, Eur. Hipp. 200 *εὐπήχεις χεῖρας*.

901. *ἐμοὶ τιόμενος*, nämlich *ἐστί*, vgl. Pers. 1000 *ἔταφον, ἔταφον, οὐκ ἀμφὶ σκηναῖς τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι* (scil. *εἰσίν*), Eur. Ion 517 *ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι*, dazu Eum. 546 *ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω*. — *ὁμαλὸς ὁ γάμος*, *ὁμαλὸς ὢν ὁ γάμος* (wenn die Ehe eine ebenmässige Verbindung gleicher Stände ist).

903. *θεῶν ἔρως* dichterisch für *θεοὶ ἐρῶντες*. — *ἄφυκτον ὄμμα προσδράκοι με*: an die Stelle von *δέργμα προσδέρκεσθαι* ist *ὄμμα* (= *ὄψιν*) *προσδέρκεσθαι* getreten, vgl. Pers. 81 *λεύσσων δέργμα*, 305 *πήδημ' ἀφήλατο*; zu der ganzen Construction (transitiver Accusativ neben dem Acc. des Inhalts) vgl. Eur. Phoen. 293 *γονυπετεῖς ἕδρας προσπίτνω σ' ἄναξ*, Or. 1020 *ὥς σ' ἰδοῦσ' ἐν ὄμμασι πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν*, Krüger II § 46, 12, 1.

904. *ἀπόλεμος ὁ πόλεμος*: vgl. Ag. 1142 *νόμον ἄνομον*, Eum. 1033 *παῖδες ἄπαιδες*, Pers. 680 *νᾶες ἄναες*, Eur. Herc. 1133 *ἀπόλεμον πόλεμον*, Soph. Ai. 665 *ἄδωρα δῶρα*, El. 1154 *μήτηρ ἀμήτωρ*, O. R. 1214 *ἄγαμος γάμος* u. a. — *ἄπορα πόριμος* mit der Construction des Verbums wie Cho. 22 *χοὰς προπομπός*, Pers. 981 *μυρία πεμπαστάν*, Suppl. 594 *τὸ πᾶν μῆχαρ οὔριος Ζεύς*, Ag. 1090 *πολλὰ συνίστορα* (*στέγην*) *αὐτόφονα κακά*; dazu Aesch. Suppl. 149 *ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω* (= *ῥυσάσθω*), Soph. Ant. 787

οὐδ' ἔχω τίς ἂν γενοίμαν· 905
τὰν Διὸς γὰρ οὐχ ὁρῶ
μῆτιν ὅπα φύγοιμ' ἄν.

ΠΡ. ἦ μὴν ἔτι Ζεὺς καίπερ αὐθάδης φρενῶν
ἔσται ταπεινός, οἷον ἐξαρτύεται
γάμον γαμεῖν· ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄιστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ 910
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.

τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
ἐγὼ τάδ' οἶδα χᾧ τρόπῳ. πρὸς ταῦτα νῦν 915
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστὸς τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται 920

καί σε φύξιμος (= φεύγειν δύναται), Eur. Iph. A. 1255 ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μή, Lys. 3, 27 ταῦτα ἔξαρνός ἐστι, [Plat.] Alcib. II p. 141 D ἀνήκοον εἶναι χθιζά τε καὶ πρωϊζὰ γεγενημένα, Plat. Charm. p. 158 C ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα.

905. τίς ἂν γενοίμαν ist nicht verschieden von dem gewöhnlichen τί ἂν γενοίμαν.

906. Vgl. 551 u. Il. 8, 143 ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν, Hes. O. D. 105 οὕτως οὔτι πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.

907—943 erste Scene der Exodos zwischen dem Koryphäos und Prometheus. Herbeiführung der Katastrophe.

907. ἦ μὴν ἔτι: vgl. 167. αὐθάδης φρενῶν: über den Genetiv der Relation Krüger I § 47, 26, 9 u. II § 47, 26, 7.

908. οἷον: vgl. Od. 2, 239 νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες ἧσθ' ἄνεῳ (οἷον = ὅτι οὕτως), Il. 22, 346 αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας, Eur. Herc. 816 ἆρ' εἰς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου, οἷον φάσμ' ὑπὲρ δόμων ὁρῶ; Ion 796 ἀν' ὑγρὸν ἀμπταίην αἰθέρα . ., οἷον οἷον ἄλγος ἔπαθον, Aristoph. Nub. 1157 οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι, οἷος ἐμοὶ τρέφεται. Herod. I 31 αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν <ἐμακάριζον>, οἵων τέκνων ἐκύρησε, VIII 12 ἐς φόβον κατιστέατο ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, ἐς οἷα κακὰ ἧκον.

910. ἄιστον ἐκβαλεῖ d. i. ἐκβαλεῖ ὥστε ἄιστον εἶναι. Ueber ἄιστος vgl. zu 151.

911. Κρόνου — κρανθήσεται: Alliteration von κρ.

915. πρὸς ταῦτα: zu 992.

916. πεδαρσίοις: zu 269.

917. πύρπνουν βέλος: vgl. zu 359. — Wegen der contrahierten Form πύρπνουν vgl. zu 852 u. Soph. Ant. 224 δύσπνους ἱκάνω. In melischen Partieen wird nur die aufgelöste Form gebraucht.

920. τοῖον: die am Anfang des

ἐπ' αὐτὸς αὑτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
θαλασσίαν τε, γῆς τινάκτειραν νόσον,
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ. 925
πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται,
ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

ΧΟ. *σύ θην ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.*
ΠΡ. *ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.*
ΧΟ. *καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;* 930

Satzes stehenden Demonstrativpronomina geben öfters im Griechischen wie im Lat. nachträglich den in der Beschaffenheit einer Sache liegenden Grund zur voraus angegebenen Folge, vgl. Soph. Ai. 590 *οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ —. τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι λείψω.*

921. *ἐπ' αὐτὸς αὑτῷ*: zu 762.

922. *κεραυνὸς* 'ignea coruscatio' (*βροντὴ* 'fragor coeli tonantis').

923. *βροντῆς ὑπερβάλλοντα*: *ὑπερβάλλειν* hat als Verbum des Uebertreffens wie *ὑπερφέρειν* (Soph. O.R. 380 *τέχνη τέχνης ὑπερφέρουσα*) und *ὑπερέχειν* den Gen. auch Plat. Gorg. p. 475 B *ἄρα λύπῃ ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι* bei sich, wo darauf *ὑπερέχει* an seine Stelle tritt (*οὐκ ἄρα λύπῃ γε ὑπερέχει*;), Aristot. H. An. II 11 *πολὺ ὑπερβάλλοντες τῶν περὶ τὰ λοιπὰ ὑπαρχόντων.*

924. *θαλασσίαν τρίαιναν*: Eur. Ion 282 *πληγαὶ τριαίνης ποντίου.* — Ubi Latinis 'pestis, noxa' aut 'calamitas', ibi Graecis *νόσος* in usu est (Schütz). Vgl. Soph. Ant. 418 *καὶ τότ' ἐξαίφνης χθονὸς τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος, πίμπλησι πεδίον· . . . . μύσαντες δ' εἴχομεν θείαν νόσον.* — Nach Pind. Isthm. VII 60 ff. gab die wohlberathene Themis, als Zeus und Poseidon um Thetis warben, den Göttern kund, *εἵνεκεν πεπρωμένον ἦν φέρτερον γόνον ἄν ἄνακτα πατρὸς τεκεῖν ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Δί γε μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν.* Der Dichter hat den auf Poseidon bezüglichen Theil der Prophetie um des Nachdruckes und Effektes willen beibehalten, obwohl der Grund, die gleichzeitige Werbung des Poseidon um Thetis, weggefallen ist. Man kann sich denken, dass mit der Herrschaft des Zeus auch die seines Bruders Poseidon untergehe.

926. *πταίσας τῷδε πρὸς κακῷ*: vgl. Sept. 210 *νεὼς καμούσης ποντίῳ πρὸς κύματι.*

927. Wegen *τὲ — καὶ* bei einem Begriffe der Verschiedenheit vgl. Soph. O. C. 808 *χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια*, Eur. Alc. 528 *χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται*, Xenoph. Hier. I 2 *πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος* (Elmsley zu Soph. a. O.).

928. *θὴν* eine vorzugsweise epische Partikel, Krüger II § 69, 38. *ἐποιωνίζῃ κατὰ τοῦ Διὸς ἃ βούλει γενέσθαι αὐτῷ* Schol. wie bei Hesych. *ἐπιγλωσσῶ· ἐποιωνίζου διὰ γλώττης, Αἰσχύλος Ἡρακλείδαις.* Vgl. Cho. 1044 *μηδ' ἐπιζευχθῇς στόμα φήμῃ πονηρᾷ μηδ' ἐπιγλωσσῶ κακά*, Aristoph. Lysistr. 37 *περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι τοιοῦτον οὐδέν.*

929. *τελεῖται* kann als fut. und als praes. (vgl. zu 211) betrachtet werden. — *πρὸς δέ*: zu 73.

ΠΡ. καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.

ΧΟ. πῶς δ' οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;
ΠΡ. τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;
ΧΟ. ἀλλ' ἆθλον ἂν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.
ΠΡ. ὃ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι. 935

ΧΟ. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
ΠΡ. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς. 940

ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον,
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.

931. τῶνδε, τῶν ἐμῶν.

932. ἐκρίπτων: zu 312.

933. ᾧ θανεῖν οὐ μόρσιμον: der gleiche Gedanke mit gleicher Beziehung 1053, mit anderer 753 u. im frgm. III des Prom. sol. 23 f.

934. Vgl. 313.

936. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν: Hesych. Ἀδραστία· ἡ Νέμεσις. At vitandam invidiam Graeci solebant dicere προσκυνῶ τὴν Νέμεσιν (vgl. unser 'unberufen'). Demosth. adv. Aristogit. I p. 495 καὶ Ἀδράστειαν μὲν ἄνθρωπος ὢν ἔγωγε προσκυνῶ, Plat. rep. V p. 451 A προσκυνῶ δὲ Ἀδράστειαν, ὦ Γλαύκων, χάριν οὗ μέλλω λέγειν. (Giacomelli), vgl. Eur. Rhes. 342 Ἀδράστεια μὲν ἁ Διὸς παῖς εἴργοι στομάτων φθόνον, 468 σὺν δ' Ἀδραστείᾳ λέγω, ... ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί, Alciphr. Ep. I 33 προσκυνῶ δὲ τὴν Νέμεσιν, (Soph. Phil. 776 τὸν φθόνον δὲ πρόσκυσον).

937. σέβου, προσεύχου, θῶπτε vgl. 392. — τὸν κρατοῦντ' ἀεί s. v. a. τὸν ἀεὶ ('jedesmal') κρατοῦντα. Vgl. Eur. Or. 889 ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεί, Aristoph. Vesp. 1318 κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί, Plut. 1026 φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί, Xen. Cyr. VIII 5, 16.

938. ἔλασσον ἢ μηδέν; vgl. Plat. Theaet. p. 179 E ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν. Der abstracte Begriff des Nichts wird durch μηδὲν (τὸ μηδὲν) gegeben, vgl. Soph. Ai. 1275 ἤδη τὸ μηδὲν ὄντας, El. 1166 δέξαι με τὴν μηδὲν εἰς τὸ μηδέν, Eur. Cycl. 355 ἄλλως νομίζει Ζεὺς τὸ μηδὲν ὢν θεός u. Soph. Ai. 1231 ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ.

939. δράτω, κρατείτω: vgl. Ag. 1669 πρᾶσσε, πιαίνου μιαίνων τὴν δίκην, ἐπεὶ πάρα, Soph. Ant. 768 δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών.

940. ἄρξει θεοῖς: vgl. zu 49.

941. ἀλλ' εἰσορῶ γάρ: vgl. Eur. Hec. 724 ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι. — τρόχις· ἄγγελος, ἀκόλουθος Hesych, doch hier eine verächtliche Bezeichnung des Götterboten als des διάκονος τοῦ νέου τυράννου, wie auch im folgenden Hermes von Prometheus mit Geringschätzung behandelt wird. Die Bezeichnung Διὸς τρόχις vertritt für die Zuschauer die Nennung des Namens. Uebrigens deutet der Ausdruck τρόχις darauf hin, dass Hermes mit Flügelschuhen bekleidet ist u. wahrscheinlich (mittels der Maschine αἰώρημα vgl. zu 284) aus der Höhe herunter auf die Bühne kommt.

ΕΡΜΗΣ.

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις 945
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδέ μοι διπλᾶς 950
ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.

ΠΡ. σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.

νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ 955
ναίειν ἀπενθῆ πέργαμ'· οὐκ ἐκ τῶνδ' ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ' ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς; 960
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

944—1039 zweite Scene der Exodos zwischen Prometheus u. Hermes: Entwicklung der Katastrophe. — τὸν σοφιστήν: vgl. 62. — τὸν πικρῶς ὑπέρπικρον: vgl. zu 328.
945. Vgl. 82.
948. ἐκπίπτει: zu 171.
949. μηδὲν αἰνικτηρίως: vgl. 610.
950. αὔθ' ἕκαστα 'alles einzelne mit seinem eigentlichen Namen', vgl. Phoen. 494 ταῦτ' αὔθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς λόγων ἀθροίσας εἶπον, Orest. 1393 σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις.
952. τοῖς τοιούτοις: τοῖς μὴ πειθομένοις αὐτῷ Schol.; aber τοῖς τοιούτοις ist neutr. und bezieht sich auf die voraus angedeuteten Winkelzüge und Ausflüchte langer Verhandlungen. Wegen τοΐούτοις zu 237.
954. Vgl. Eur. Tro. 424 ἡ δεινὸς ὁ λάτρις· τί ποτ' ἔχουσι τοὔνομα κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται.
955. νέον κρατεῖτε: vgl. zu 35.
956. πέργαμα: Servius zu Verg. Aen. I 95 'propter Pergama quae altissima fuerunt: ex quibus omnia alta aedificia pergama vocantur sicut Aeschylus dicit'.
957. δισσοὺς τυράννους: den Uranos und Kronos.
959. αἴσχιστα καὶ τάχιστα, nämlich ἐκπίπτοντα. Der Gleichklang effektvoll, vgl. 480, 691, 891 f., Soph. Ant. 1327 βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.
961. πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω: vgl. 1006; πολλοῦ γε δεῖ, πολλοῦ γε καὶ δεῖ (il s'en faut bien) ist eine gewöhnliche Redensart.
962. ἐγκόνει höhnisch (vgl. τρόχις) statt eines blossen ἀναστρέφου.
963. Vgl. Soph. O. C. 991 ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνι-

ΕΡ. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας. 965
ΠΡ. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
ΕΡ. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον·
ΠΡ. * * * * * *
οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών. 970

ΕΡ. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.
ΠΡ. χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.
ΕΡ. ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
ΠΡ. ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς 975
ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.

ΕΡ. κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.
ΠΡ. νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
ΕΡ. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
ΠΡ. ὤμοι.

στορῶ (übrigens kommt die Attraction οὐδὲν ὤν, die bei Soph. u. Eur. sehr häufig ist, bei Aeschylus nur noch unten 984 vor).

965. καθώρμισας: vgl. Eur. Herc. 1094 δεσμοῖς ναῦς ὅπως ὡρμισμένος πρὸς ἡμιθραύστῳ λαΐνῳ τυκίσματι ἧμαι, Aristoph. Thesm. 1105 τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην; weiter ausgeführt unten in Frgm. 3 des Prom. sol. 3 navem ut horrisono freto noctem paventes timidi adnectunt navitae.

968. οἶμαι ironisch. — τῇδε λατρεύειν πέτρᾳ: vgl. zu 463. Hier ist der Ausdruck mit Rücksicht auf den Gegensatz im folgenden Verse gewählt. — πέτρᾳ ἢ πατρί: der Anklang hebt den Gegensatz grell hervor.

970. Dem Verse ging eine derbe Zurechtweisung des Hermes wegen des höhnenden πέτρᾳ λατρεύειν voraus.

972. Vgl. 864, Soph. Trach. 819 τὴν δὲ τέρψιν ἣν τὠμῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι, Phil. 794 Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;

973. καὶ — δέ 'und auch' vgl. Krüger I § 69, 32, 10 u. II § 69, 41, 2, Eur. El. 1117 τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.

974. συμφοραῖς: 'ob calamitates tuas' vgl. Cho. 81 δακρύω ματαίοισι δεσπόταν τύχαις, Eum. 717 ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος, Eur. Med. 1286 πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ τέκνων δυσσεβεῖ, Heracl. 474 θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς προσθῆτε.

975. ἁπλῷ λόγῳ: vgl. 46. — Ebenso spricht Prometheus bei Aristoph. Av. 1547 μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ.

977. Der gereizten Stimmung gemäss geht die Rede in Stichomythie über. — μεμηνότα νόσον wie μ. μανίαν: Krüger II § 46, 6. — κλύω im Sinne 'aus solchen Reden erkenne ich, dass —'.

979. Vgl. frgm. 292 κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

ΕΡ. ὤμοι, τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται. 980
ΠΡ. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
ΕΡ. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.
ΠΡ. σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.
ΕΡ. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.
ΠΡ. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν. 985
ΕΡ. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με.
ΠΡ. οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
τροτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε, 990
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.

πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι

980. *ὤμοι, τόδε τοὔπος*: s. v. a. 'dieses Wort *ὤμοι*' vgl. Pers. 124 *ὀᾶ, τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων*, Ag. 1334 '*μηκέτ' ἐσέλθῃς' τάδε φωνῶν*, Eum. 510 *τοῦτ' ἔπος θροούμενος, ἰὼ δίκα.* — Uebrigens will Hermes sagen, dass Zeus durch Wehklagen sich nicht erweichen lasse (vgl. 952), während es Prometheus im folgenden Verse in anderem Sinne nimmt: *κἀκεῖνος οὖν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν* (Schol.).

982. *καὶ μήν*: zu 246. — *οὔπω* enthält die innere Beziehung zu dem voraufgehenden Verse.

983. *ὄνθ' ὑπηρέτην*: vgl. 942, 954.

985. *ὀφείλων γε* d. i. *εἰ ὤφειλόν γε* ('Ich dich ehren? Wofür' sagt Prometheus bei Goethe). Wegen des potentialis nach *εἰ ὤφειλον* vgl. z. B. Isocr. Pan. § 62 *εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πραότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν*, Krüger I § 54, 12, 7.

986. *δῆθεν*: zu 202. — *ὡς παῖδ' ὄντα με*: vgl. Ag. 277 *παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας*, 479 *τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος;* Il. 20, 200 *Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὣς ἔλπεο δειδίξεσθαι.*

987. *τοῦδε, παιδός*: vgl. Soph. Ant. 910 *καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον*, Eur. Hipp. 914 *οὐ μὴν φίλους γε κἄτι μᾶλλον ἢ φίλους κρύπτειν δίκαιον.*

992. *πρὸς ταῦτα* mit dem Imperativ ('thue was du willst' oder 'geschehe was da wolle') wird häufig gebraucht um auszudrücken, dass alles Thun und Machen an einer Thatsache oder einem festen Entschlusse nichts ändern könne, vgl. 915, 1030, 1043, Soph. Ant. 658, Eur. Med. 1358, Hipp. 304, Heraclid. 978 u. a. — *αἰθαλοῦσσα*: vgl. Hes. Theog. 707 *αἰθαλόεντα κεραυνόν*, Eur. Phoen. 183 *κεραυνῶν τε φῶς αἰθαλόεν.* — Zu dem Gedanken vgl. 1043, Il. 15, 115 *μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες, τίσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν, εἴπερ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν*, Soph. Phil. 1197 *οὐδέποτ' οὐδέποτ', . . . οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων*, Eur. Phoen. 521 *πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα, ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων, ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα*, frgm. 688 *πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα, πρὶν ἐξ ἐμοῦ τοι θῶπ' ἀπαντῆσαι λόγον.*

993. *λευκοπτέρῳ*: vgl. Herod. IV

χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι 995
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.

ΕΡ. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
ΠΡ. ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ΕΡ. τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν. 1000
ΠΡ. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.

εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν 1005

31 οἶκε γὰρ ἡ χιὼν πτεροῖσι (ebd. 7 ὑπὸ πτερῶν κεχυμένων).

994. Vgl. Aristoph. Pac. 320 ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω. — βροντήμασι χθονίοις (1081): vgl. frgm. 55 τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου βροντῆς φέρεται βαρυταρβής, Soph. O. C. 1606 κτύπησε μὲν Ζεὺς χθόνιος, Eur. Hipp. 1201 ἔνθεν τις ἠχώ, χθόνιος ὡς βροντὴ Διός, βαρὺν βρόμον μεθῆκε. — κυκάτω: das Subjekt ist 'er' (Zeus) wie unten 1051 nach den Subjekten πνεῦμα u. κῦμα.

995. καί: 'auch' (οὕτως ὥστε καί), um die der Beschaffenheit einer Sache oder Handlung entsprechende Wirkung auszudrücken, vgl. Plat. Phaed. p. 66 B ἀνάγκη ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν, Soph. Ai. 1325 τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν, Eur. Phoen. 1328 οὐκ εἰς τόδ' ἦλθον ὥστε καὶ τάδ' εἰδέναι, Hel. 841 πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν. Zum Gedanken vgl. Hor. carm. III 3, 1 iustum et tenacem propositi virum etc.

998. Vgl. Schiller Wallensteins Tod IV 11 'Bedenken Sie doch ja wohl was Sie thun'. 'Bedacht ist schon, was zu bedenken ist'.

999. τόλμησον, τόλμησον (zu 266) ὀρθῶς φρονεῖν: vgl. das horazische (epist. I 2, 40) sapere aude.

1001. ὀχλεῖς absolut wie Soph. O. R. 446 παρὼν σύ γ' ἐμποδὼν ὀχλεῖς. — κῦμ' ὅπως: λαλῶν ὡς πρὸς κῦμα ἀναίσθητον Schol. vgl. Eur. Med. 28 ὡς δὲ πέτρος ἢ θαλάσσιος κλύδων ἀκούει νουθετουμένη φίλων, Hipp. 304 πρὸς τάδ' αὐθαδεστέρα γίγνου θαλάσσης, Androm. 537 τί με προσπίτνεις ἁλίαν πέτραν ἢ κῦμα λιταῖς ὡς ἱκετεύων, Lycophr. 1452 εἰς κῦμα κωφὸν βάζω, Philodem. Anthol. Pal. V 107 τοῦτ' ἐβόων αἰεὶ καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων, Ovid. Med. XIII 804 surdior aequoribus.

1005. γυναικομίμοις: vgl. Soph. frgm. 706 γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν, Eur. Bacch. 980 ἐν γυναικομίμῳ στολᾷ, frgm. 185 γυναικομίμῳ διαπρέπεις μορφώματι. — ὑπτιάσμασιν: die Alten flehten mit erhobenen, flach zurückgebogenen Händen, vgl. die von Suidas u. d. W. ὕπτιος angeführte Stelle προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τοὺς πολεμίους, Verg. Aen. III 176 tendoque supinas ad caelum cum voce manus, Horat. carm. III 23, 1 caelo supinas si tuleris manus. Die Stellung zeigt uns die schöne Statue des 'anbetenden Knaben' im Berliner Museum (Clarac mus. de sculpt. Taf. 777 n. 1942).

λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

ΕΡ. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγει γὰρ οὐδὲν οὐδὲ μαλθάσσει κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει. 1010
ἀτὰρ σφοδρύνει γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία 1015
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.

1006. τοῦ παντὸς δέω: vgl. 961.
1007. πολλὰ καὶ μάτην: vgl. Eum. 144 ἢ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ.
1010. βιάζει s. v. a. βίᾳ τέμνεις, vgl. Eur. Hipp. 1223 αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς [illegible] μεταστρέφουσαι. Med. 242 [illegible] βίᾳ φέρων ζυγόν, Soph. El. [illegible].
1011. σφοδρύνει [illegible] Anstrengung des [illegible] Wesens ἀσθενεῖ (innere Schwäche).
1013. αὐτὴ καθ' αὑτήν [illegible] χωρὶς τοῦ καλῶς φρονεῖν. — οὐδενὸς μεῖζον σθένει: [illegible] validior i. e. [illegible] minimior' (Halm); es wird [illegible] gehende ἀσθενεῖ erklärt und verstärkt. Vgl. Theogn. [illegible] ἀνθρώπων κακίων [illegible] ρος, ᾧ γνώμη δ' [illegible] καὶ ᾧ δύναμις, Thuc. [illegible] μιᾶς δὴ τῶν [illegible] ἔκπληξις, 85 [illegible] οὗτος καὶ οὐδενὸς [illegible] τῷ Σικελικῷ [illegible] Demosth. Olynth. I § [illegible] τῶν [illegible] των αἰσχύνη, [illegible] μίας τοῖς γε [illegible] 335 A εἰ τοῦτο [illegible] βελτίων [illegible] τἄλλ' ὄντες ἴστε [illegible] Krüger I § [illegible] — [illegible] danken vgl. Soph. [illegible]

[illegible]

χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι 995
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.

ΕΡ. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
ΠΡ. ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ΕΡ. τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν. 1000
ΠΡ. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.

εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν 1005

31 οἶκε γὰρ ἡ χιὼν πτεροῖσι (ebd. 7 ὑπὸ πτερῶν κεχυμένων).

994. Vgl. Aristoph. Pac. 320 ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω. — βροντήμασι χθονίοις (1081): vgl. frgm. 55 τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου βροντῆς φέρεται βαρυταρβής, Soph. O. C. 1606 κτύπησε μὲν Ζεὺς χθόνιος, Eur. Hipp. 1201 ἔνθεν τις ἠχώ, χθόνιος ὡς βροντὴ Διός, βαρὺν βρόμον μεθῆκε. — κυκάτω: das Subjekt ist 'er' (Zeus) wie unten 1051 nach den Subjekten πνεῦμα u. κῦμα.

995. καί: 'auch' (οὕτως ὥστε καί), um die der Beschaffenheit einer Sache oder Handlung entsprechende Wirkung auszudrücken, vgl. Plat. Phaed. p. 66 B ἀνάγκη ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν, Soph. Ai. 1325 τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν, Eur. Phoen. 1328 οὐκ εἰς τόδ' ἦλθον ὥστε καὶ τάδ' εἰδέναι, Hel. 841 πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν. Zum Gedanken vgl. Hor. carm. III 3, 1 iustum et tenacem propositi virum etc.

998. Vgl. Schiller Wallensteins Tod IV 11 'Bedenken Sie doch ja wohl was Sie thun'. 'Bedacht ist schon, was zu bedenken ist'.

999. τόλμησον, τόλμησον (zu 266) ὀρθῶς φρονεῖν: vgl. das horazische (epist. I 2, 40) sapere aude.

1001. ὀχλεῖς absolut wie Soph. O. R. 446 παρὼν σύ γ' ἐμποδὼν ὀχλεῖς. — κῦμ' ὅπως: λαλῶν ὡς πρὸς κῦμα ἀναίσθητον Schol. vgl. Eur. Med. 28 ὡς δὲ πέτρος ἢ θαλάσσιος κλύδων ἀκούει νουθετουμένη φίλων, Hipp. 304 πρὸς τάδ' αὐθαδεστέρα γίγνου θαλάσσης, Androm. 537 τί με προσπίτνεις ἁλίαν πέτραν ἢ κῦμα λιταῖς ὣς ἱκετεύων, Lycophr. 1452 εἰς κῦμα κωφὸν βάζω, Philodem. Anthol. Pal. V 107 τοῦτ' ἐβόων αἰεὶ καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων, Ovid. Med. XIII 804 surdior aequoribus.

1005. γυναικομίμοις: vgl. Soph. frgm. 706 γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν, Eur. Bacch. 980 ἐν γυναικομίμῳ στολᾷ, frgm. 185 γυναικομίμῳ διαπρέπεις μορφώματι. — ὑπτιάσμασιν: die Alten flehten mit erhobenen, flach zurückgebogenen Händen, vgl. die von Suidas u. d. W. ὕπτιος angeführte Stelle προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τοὺς πολεμίους, Verg. Aen. III 176 tendoque supinas ad caelum cum voce manus, Horat. carm. III 23, 1 caelo supinas si tuleris manus. Diese Stellung zeigt uns die schöne Statue des 'anbetenden Knaben' im Berliner Museum (Clarac mus. de sculpt. Taf. 777 n. 1942).

λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

ΕΡ. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγει γὰρ οὐδὲν οὐδὲ μαλθάσσει κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει. 1010
ἀτὰρ σφοδρύνει γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὐτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία 1015
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.

1006. *τοῦ παντὸς δέω*: vgl. 961.

1007. *πολλὰ καὶ μάτην*: vgl. Eum. 144 *ἢ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ.*

1010. *βιάζει* s. v. a. *βίᾳ φέρεις*, vgl. Eur. Hipp. 1223 *αἳ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς βίᾳ φέρουσιν, οὔτι ναυκλήρου χερὸς μεταστρέφουσαι*, Med. 242 *μὴ βίᾳ φέρων ζυγόν*, Soph. El. 725.

1011. *σφοδρύνει* (äusserliche Anstrengung des ungeberdigen Wesens) *ἀσθενεῖ* (innere Schwäche).

1013. *αὐτὴ καθ' αὐτήν* d. i. *χωρὶς τοῦ καλῶς φρονεῖν.* — *οὐδενὸς μεῖζον σθένει*: 'nulla re est validior i. e. quavis re est infirmior' (Halm); es wird das vorausgehende *ἀσθενεῖ* erklärt und verstärkt. Vgl. Theogn. 411 *οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος, ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις*, Thuc. VII 71 *οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις*, 85 *πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ*, Demosth. Olynth. I § 27 *ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι*, Plat. Prot. 335 A *εἰ τοῦτο ἐποίουν, οὐδενὸς ἂν βελτίων ἐφαινόμην*, Eur. Andr. 726 *τἆλλ' ὄντες ἴστε μηδενὸς βελτίονες*, Krüger I § 47, 27, 3. — Zu dem Gedanken vgl. Soph. O. R. 549 *εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.*

1014. *σκέψαι δέ*: dieselbe Wendung zur Einleitung einer Beweisführung Soph. O. R. 584 *σκέψαι δὲ τοῦτο πρῶτον*, Eur. Suppl. 476 *σκέψαι δὲ καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος λόγοισιν . . . σφριγῶντ' ἀμείψῃ μῦθον*, vgl. Soph. Trach. 1077 *σκέψαι θ' ὁποίας ταῦτα συμφορᾶς ὕπο πέπονθα.*

1015. *χειμών*: 643. Ueber die Stellung von *κακῶν* zu 458. — Zu *τρικυμία* vgl. das lateinische decima unda, decumanus fluctus, Sept. 761 *κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει, τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει τρίχαλον*, Eur. Hipp. 1213 *σὺν κλύδωνι καὶ τρικυμίᾳ*, Plat. Rep. p. 472 A *τὼ δύω κύματε ἐκφυγόντι τὸ μέγιστον καὶ χαλεπώτατον τῆς τρικυμίας ἐπάγεις.*

1016. *ἔπεισι*: die Elision des *ι* in der Verbalendung *σι* ist selten. Dem *πρῶτα μὲν* entspricht (*μακρὸν*) *δὲ* vgl. 447. — *ὀκρίδα*: vgl. *ὀκριοέσσῃ* 282.

1019. *πετραία ἀγκάλη*: vgl. Cho. 586 *πόντιαι ἀγκάλαι*, Aristoph. Ran. 704 *τὴν πόλιν ἔχοντες κυμάτων ἐν ἀγκάλαις* nach dem Ausdruck des Archilochus *ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.* — *πετραία δ' ἀγκάλη σε βαστάσει* gibt nur einen Neben-

μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου 1020
ἄψορρον ἥξεις ἐς φάος· Διὸς δέ τοι
πτηνὸς κύων δαφοινὸς αἰετὸς λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινάσεται. 1025

τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.

πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος 1030

umstand an (ἐν πετραίᾳ ἀγκάλῃ βασταζόμενον). Durch diese Bestimmung, dass Prometheus von seinem Felsen umarmt u. umrankt mitsammt seinen Banden in die Tiefe stürze, vermeidet der Dichter die uninteressante Wiederholung der Scene der Anschmiedung am Anfange des Προμηθεὺς λυόμενος.

1020. μακρὸν μῆκος (Strecke, spatium): vgl. Eur. Or. 72 μακρὸν δὴ μῆκος χρόνου.

1021. τοί versichernd ('merke es wohl').

1022. κύων: zu 803.

1023. διαρταμήσει — μέγα ῥάκος: vgl. unten frgm. III des Prom.-sol. 10: iam tertio me quoque funesto die tristi advolatu aduncis lacerans unguibus Iovis satelles pastu dilaniat fero. — μέγα ῥάκος gibt (wie nachher κελαινόβρωτον) die Folge von διαρταμήσει an: 'zerfleischen, so dass grosse Fetzen herunterhängen'. μέγᾰ vor ῥ: ῥ ist die einzige liquida, welche (wie die Verdopplung als Inlaut, so auch) bei den nachhomerischen Dichtern die Bedeutung einer Doppelconsonanz (die Nachwirkung eines vor der liquida abgeschliffenen Consonanten z. B. ῥάκος äolisch βράκος) behalten hat. Doch kommt der vorausgehende Vokal (in der Thesis) auch kurz vor, vgl. 713, 992.

1024. πανήμερος bedeutet nicht 'täglich' (denn nach der zum vorausgehenden Verse angeführten Uebersetzung kommt der Adler tertio quoque die), sondern nach der Bedeutung von πανῆμαρ, πανημέριος bei Homer διὰ πάσης τῆς ἡμέρας. Vgl. Hes. Theog. 523 καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ ἤσθιεν ἀθάνατον· τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.

1025. κελαινόβρωτον: proleptisch τὸ μελαινόμενον ἐκ τῆς βρώσεως (Schol.). — ἐκθοινάσεται: zu 61.

1027. θεῶν τις διάδοχος τῶν σῶν πόνων: das tritt wirklich ein, indem Herakles den Centauren Chiron (θεὸν Χείρωνα Soph. Trach. 714) als bereitwilligen (θελήσῃ) Stellvertreter des Prometheus dem Zeus darbietet, vgl. Einleitung S. 10. Hermes freilich verkündet es als etwas nicht leicht denkbares, als etwas, das man kaum erwarten dürfe, vgl. zu 27.

